ΠΑΡΑΦΡΑΣΙΣ
ΕΚ ΤΩΝ ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΩΝ

f. 393v

Η ΥΠΟΘΕΣΙΣ

Νίκανδρος ὁ ποιητὴς ἔγραψεν ποιήματα δύο, ὧν τὸ μὲν πρῶτον ἐπιγράφεται Θηριακά, ὃ προσφωνεῖ Ἑρμησιάνακτι, ἑαυτοῦ φίλῳ καὶ συγγενεῖ, τὸ δὲ δεύτερον ἐπιγέγραπται Ἀλεξιφάρμακα, ὃ προσφωνεῖ Πρωταγόρᾳ, ἰατρῷ τινι τῶν ἐπ᾿ αὐτοῦ. Περιέχει δὲ τὸ μὲν πρῶτον τά τε τῶν ἑρπετῶν εἴδη, καὶ τὰς ἀπὸ τούτων γιγνομένας τοῖς ἀνθρώποις βλάβας, ἔτι μὴν καὶ βοτάνας καὶ τὰς ὀνομασίας καὶ τὰ εἴδη τούτων, καὶ ποία βοτάνη ποίου θηρίου θεραπεύει πληγήν· τὸ δὲ μετὰ τοῦτο τάς τε τῶν δηλητηρίων διαφοράς, αἵτινες ἔκ τε ῥιζῶν καὶ λίθων παρ᾿ ἀνθρώπων ἐξευρέθησαν πονηρῶν, καὶ τὰς ἐφ᾿ ἑκάστου δηλητηρίου βλάβη ἰατρικὰς βοηθείας καὶ ἀντιπαθεῖς θεραπείας. Ὁ δὲ σκοπὸς ἐν ἀμφοτέροις τοῖς ποιήμασι πρὸς σωτηρίαν τῶν ἀνθρώπων καὶ ὠφέλειαν ἐξεύρηται.

f. 394r

Η ΕΡΜΗΝΕΙΑ

1-7. Τῶν ἑρπετῶν θηρίων ὁπόσα ἐστὶν ἐν εἴδεσιν καὶ τὰς γιγνομένας ἀπὸ τούτων βλάβας, αἷς περιπίπτουσιν ἀπροσδοκήτως καὶ ἀπαραφυλάκτως ἄνθρωποι, ἔτι γε μὴν καὶ τὰς ἐφ᾿ ἑκάστῳ πλήγματι ἀλεξικάκους τε καὶ σωτηριώδεις βοηθείας, ὦ φίλτατε Ἑρμησιάναξ, σαφέστατα ὡς οἷόν τέ σοι καὶ ἀληθέστατα ἀπαγγελῶ. Δῆλον γὰρ ὡς ἐκδιδαχθέντα σε καὶ ἐκμελετήσαντα τὰ τοῖς ἀνθρώποις ὀνήσιμα οὐ γεωργός, οὐχ ὑλοτόμος, οὐ βουκόλος, οὐχ ὁστισοῦν τῶν ἐργαζομένων καὶ πονούντων τὴν γῆν φροντίδος τε ἀποστερήσειεν καὶ προσέτι τιμῆς, ἀλλ᾿ ἀγαπήσειέν τε καὶ θαύματος ἀξιώσειεν,

εἰς πεῖραν ἐρχόμενος ὁστισοῦν τῶν βοηθημάτων τῶν παρὰ σοῦ.

8-20 *Ἡ μὲν δὴ τῶν θανατηφόρων καὶ ἄλλως ἀνιαροτάτων ἑρπετῶν, φαλαγγίων τε καὶ ἐχιδνῶν φύσις, ἔπειτα μέντοι καὶ τῶν ἄλλων, ὁπόσα ἐστὶ τοῖς ἀνθρώποις ἐπαχθέστατά τε καὶ συμφορῶν παμπόλλων αἴτια, γένεσίν τε ἐδέξατο καὶ ἀρχὴν τοῦ εἶναι ἀπὸ τοῦ τῶν Τιτήνων αἵματος ἐκείνου καὶ φόνου, ἡνίκα τοῦ πρὸς τοὺς θεούς, ὥς φησιν Ἡσίοδος ὁ ἀπὸ τῆς Ἄσκρης, πολέμου ἤρχοντο. Εἰ δέ γέ τι καὶ χρὴ τῷ αὐτῷ λέγοντι πιστεύειν ποιητῇ, ὅτι δὴ ἐν Μελίτῃ που καὶ τῷ Ἑλικῶνι παρὰ τὸν ποταμὸν τὸν Περμησσὸν ἀνῆκεν σκορπίον ἡ Ἄρτεμις, εἶθ' ὅτι κεκεντρωμένον καὶ μάλα ἐναργῶς, καὶ ὅτι λέγεται χαλαζήεις ὁ σκορπίος οὗτος, ὁ αὐτὸς δὴ λέγει. Ἐπειδὴ γάρ, φησίν, ἡ Διὸς καὶ Λητοῦς θυγάτηρ πρὸς Ὠρίωνα χαλεπῶς τὸν ἐκ Βοιωτίας διετέθη, ὅτι αὐτῆς ἐκεῖνος τῶν ἀθίκτων οἶμαι καὶ καθαρῶν οὐ παρῃτήσατο προσάψασθαι ἱματίων χειρί, πληγῆναι τὸν Ὠρίωνα ὑπ' αὐτοῦ διεκελεύσατο. Καὶ ὁ μὲν τὴν πληγὴν ἐπενηνοχὼς ἐτύγχανεν καὶ κατὰ τοῦ σφυροῦ, ὑπελθὼν δηλαδὴ τοῦ λίθου, ὑφ' οὗ ἐκρύπτετο, ὁ δὲ προϊδόμεν[ος οὐδέν, τ]οῦ θράσους ταύτην*
f. 394ᵛ *ὁ Ὠρίων ἐδεδώκει | δίκην. Ἔνεστι δὴ οὖν ταῦτα καὶ τὰ περὶ τούτων τῷ οὐρανῷ καὶ ἐν τῇ τῶν ἀπλανῶν φαίνεται περιφανῶς σφαίρᾳ, καὶ οἷα δὴ θήραν μετιόντος τινὸς ἐναργῶς δείκνυται τοῦτο καὶ πάνυ μέντοι τὸ σχῆμα διὰ τῶν ἀστέρων.*

21-34. *Ὅπως οὖν ἂν σὺ δυνηθείης ἐκ παντὸς τοῦτο μὲν χωρίου, πάσης δὲ ἀνθρώπων διαγωγῆς ἀποτροπήν τινα τῶν*

11 *Περμησσὸν* V: *Τερμησσὸν* A, cf. Hes. Theog. 5 (codd. V b Q Zenod.) || 16 *παρῃτήσατο* A: *παρετ-* V || 19 *καὶ κατὰ* V: *κατὰ* A, rec. Buss. Gual., sed epidoticum *καί* retineri hic potest || *τοῦ λίθου* V: *τὸν λίθον* A || 20 *την* post *ταύτην* punctis del. V, fort. *τὴν* ante *δίκην* transferendum || 26 — p. 5, 11 *Ὅπως* ... *ἑσπέρας* «videtur hic apodosis deesse» Buss. || 26 *δυνηθείης* A, rec. Gual.: *δυνηθηης* V *δυνηθῇς* cett. edd. || *τοῦτο* V: om. A, *ὅτου* dub. in Adn. ci. Buss., rec. Gual., sed cf. Sur les Thér. p. 85

ἑρπετῶν τούτων θηρίων εὕρασθαι, προφυλαξάμενος τὸ παρὰ σφῶν δεινόν, ὥστε μήτε ἐν καλύβῃ τινί σοι μήτε ἐν ἐπαύλει, οἷα ποιμένων καὶ βουκόλων ταῦτα ἀγαπητὰ οἰκητήρια, ἐᾶσαί ποτε προσελθεῖν θηρίον, ἀδεῶς γε μὴν ἄλλως τε καὶ κινδύνων ἄνευ ἐπὶ τοῦ ἐδάφους κατακλινεὶς εὕδοις τοῦ θέρους καὶ τῆς ὥρας ἐκείνης παραγενομένης, ἐν ᾗ τὸ καθεύδειν οὕτως φιλοῦσιν ἄνθρωποι, τήν τε τῆς θέρμης ὑπερβολὴν καὶ τὴν χαλεπότητα ἔτι μὴν τοῦ πνίγους ἐκτρέπεσθαι πειρώμενοι καὶ ἀποφεύγοντες, ζεφύρου τε αὔραις μαλακαῖς καὶ πνοιαῖς ἀνέμων ἡδυτάταις ἐπιθυμοῦντες ἐντυγχάνειν, ἐρχόμενοι πρὸς τὸν ὕπνον διὰ τῆς ἑσπέρας. Οἰχήσεται δὲ οὐδὲν ἧττον τὰ τοιαῦτα διωχθέντα τὰ θηρία καὶ ἀποχωρήσει οὐ μόνον χαμευνοῦντος οὐδὲ διατρίβοντος ἐν ὑπαίθρῳ σου καὶ ἐν τῇ ἐπαύλει, ἀλλὰ καὶ ἀπὸ τῶν τόπων ὁπόσων διαρρεῖ τὸ ὕδωρ καί εἰσιν αἱ ὗλαι καὶ τὰ ἄλση καὶ οἱ λειμῶνες καὶ ἔνθα δέ ἐστιν ἡ θρεμμάτων νομή. ἀφέξεται δὲ ὁμοίως τῆς βλάβης καὶ τούτων τῶν ζῴων, ἀποχωρήσει δὲ οὐδὲν ἧττον καὶ τῆς ἐσχατιᾶς αὐτῆς καὶ ἔνθα γίγνεται καὶ τρέφεται ταυτὶ τὰ θηρία. Οὐ προσελεύσεται δὲ ὄντι γέ σοι οὐδὲ ἐν τῇ ἅλῳ καθεύδοντι οὐδ' ἐν ταῖς ἄρτι φυομέναις βοτάναις ἔαρος
f. 395ʳ *ὑποφαινομένου, | ἐν ᾧ δὴ συμβαίνει καιρῷ τοὺς ὄφεις ἔαρι τοῦ γήρως ἄλλως ἀποτιθεμένους τὴν φροντίδα νέους μὲν γίγνεσθαι καὶ ἁπαλούς, τοῦ δὲ ὀξέως μὲν ὁρᾶν, κινεῖσθαι δὲ θᾶττον ἐνδεῶς ἔχοντας, ποιησαμένους δὴ κατὰ σχολὴν σφᾶς τὸ μάραθον τροφὴν τοῦ τε ὀξὺ βλέπειν καὶ τοῦ κινεῖσθαι μὴ βράδιον τὴν ἰσχὺν δέχεσθαι.*

35-56. *Ὄφεις δὴ οὖν οἶμαι καὶ τὴν ἀπὸ τούτων τῶν θηρίων γιγνομένην ἀπελάσαι κῆρα περιέσεσθαί σοι, ἣν βουληθῇς. Ἐπιθεὶς πυρὶ θυμία τοῦτο μὲν κέρας ἐλάφου τοῦ τὰς πλείστας ἀκμάς τε καὶ φυὰς ἔχοντος, τοῦτο δὲ καὶ λίθον, ὃν γαγάτην προσαγορεύουσιν, ὃς καιόμενος μὲν ἐπὶ πλεῖστον*

1 sq. *τὸ παρὰ σφῶν δεινὸν* A, edd.: *τω παρα σφων δεινων* V || 3 *ἐᾶσαι* Gual.: *εασει* V *ἐάσῃ* A || 12 alt. *τὰ* V: om. A || 13 *σου* Gual.: *σοι* V || 15 *ἔνθα δὲ* scripsi: *ἐνθάδε* edd., sed cf. Sur les Thér. p. 85 || 20 *βοτάναις* add. V s. l. || 24 *δὲ* V: *τε* Schn. Gual., sed cf. Sur les Thér. p. 85 sq.

ὅσον καὶ τῷ πυρὶ προσομιλῶν ἀνάλωτος μένει· δαπανηθῆναι γὰρ ὑπὸ πυρός, ἐπεὶ μὴ φύσιν ἐδέξατο ταύτην οὗτος, οὐδε- f. 395v *μία θέμις. | Καὶ τὴν τῆς βοτάνης δὲ ἐκείνης κόμην, ἣν καλοῦσι βλάχνον, ἔνιοι δὲ πτέριν, ἐπιβαλλομένην τῷ πυρὶ καὶ θυμιωμένην τοῖς ἑρπετοῖς αἴτιον φυγῆς θηρίοις γίγνε-* f. 396r *σθαι. | Γίγνεσθαι δὲ οὐδὲν ἧττον τὰ αὐτὰ θυμιωμένης τοῖς ἑρπετοῖς τῆς λιβανωτίδος, ἣν οἱ πολλοὶ μὲν κάχρυ προσαγορεύουσιν ἀπ' αὐτῆς τῆς ῥίζης θέμενοι τὴν ἐπωνυμίαν· ἔστι γὰρ παραπλησία ἡ ταύτης ῥίζα τῇ τῆς κριθῆς ῥίζῃ. Ταύτῃ μέντοι τῇ λιβανωτίδι καρδάμου τε ἐπιμίξας νεαροῦ καὶ δορκείου τὸ ἴσον κέρατος προφυλακτικὸν τῶν ἑρπετῶν ἐναποτελέσεις θυμίαμα. Ὁμοίως δὲ καὶ τὸ μελάνθιον ἡ βοτάνη, ἀσφάλτου καὶ θείου κατὰ τὸ ἴσον συμμιγέντων αὐτῷ, θυμιώμενον τῇ δυσχερείᾳ διώκειν τῆς ὀδμῆς τὰ θηρία δύναται. Δύναται δὲ τὰ αὐτά τις καὶ Θρᾴκιος λίθος θυμιώμενος ἀποτελεῖν, ὅς, ἐὰν μὲν πυρὶ παραδοθῇ, πρότερον ὕδατι* f. 396v *λουσάμενος, πλέον ἐπάγεται | πρὸς ἑαυτὸν τὸ πῦρ, ἐλαίου δὲ οὐκ ἀνέχεται καιόμενος, οὐδ' ἂν ὅλως ἴδοις ἔτι περὶ αὐτὸν τὸ πῦρ, ἢν σὺ τῷ λίθῳ καιομένῳ τούτῳ προσοίσῃς ἔλαιον. Καὶ ἡ μὲν φύσις, ὥσπερ ἔφην, τούτου τοιαύτη τοῦ λίθου, φέρει δὲ τοῦτον μὲν τὸν λίθον ποταμὸς ἐν Θρᾴκῃ, καὶ ἔστιν ὄνομα μὲν Πόντος τῷ ποταμῷ τούτῳ, εὑρίσκεται δὲ ἐν αὐτῷ, καὶ θυμιώμενος διώκει τῇ τῆς ἀποφορᾶς βαρύτητι τὰ γένη τούτων τῶν ἑρπετῶν. Ὑποχωρήσει δὲ οὐδὲν ἧττον ταυτὶ τὰ θηρία καὶ ἐκποδὼν στήσεται, ἐπιτιθεμένης μὲν τῷ πυρὶ χαλβάνης καὶ θυμιωμένης, μετὰ δὲ ταύτης χρωμένοις τῷ καπνῷ τῶν κεδρίνων ξύλων καὶ τῆς ἀκνήστιδος. Δύσεται τοιγαροῦν κατὰ τῆς γῆς τὰ μὲν αὐτῶν κάτω, τὰ δὲ εἰς ὕλας φευξεῖταί που, τὰ δ' εἰς ἐρημίαν, ἄδεια δὲ τῷ βουλομένῳ καθεύδειν, ἔνθα δ' ἂν ἔληται, κατὰ ταὐτὰ περιέσται*

2 *ταύτην* V: *τοιαύτην* A fort recte, cf infra, l. 20 ‖ 12 *ἐναποτελέσεις* A: *-σης* V ‖ 18 *ολως* (litteris *ολ* expunctis) V, fort *ὡς* scrib librarius voluit ‖ 19 *σὺ* A: *σοι* V ‖ cum *προσοίσῃς* cf infra p 9, 6 *οἴσει*, 29, 6 *διοίσει* et Alex. p 70, 18 *ἐποίσωσιν* ‖ 30 *ταὐτὰ* edd : *ταῦτα* A *ταυτα* V.

πολλή. Καὶ τοῖς μὲν εὐπορεῖν δυναμένοις τῶν βοτανῶν τούτων τοσαῦτα εἰρήσθω.

57-79. Ὁπόσοις δέ ἐστιν ἐργῶδες καὶ κάματον φέρει, διὰ τὸ μὴ ἔχειν ἄρα αὐταῖς ἐν καιρῷ κεχρῆσθαι, τὸν ἀπὸ τῶν ἑρπετῶν βουλομένοις φυγεῖν περιγιγνόμενον κίνδυνον, χρηστέον τῇ λεγομένῃ καλαμίνθῃ τότε ὑποστορέσασι τὴν βοτάνην αὑτοῖς. Βουληθεὶς δ' ἂν εὕροις τὴν βοτάνην ταύτην ἐλθών που πλησίον ἢ ποταμοῦ f. 397r *ἢ ἑλώδους τόπου. | Οὐ μὴν ἀλλὰ καὶ τὸν λύγον, ὃν ἄγνον λέγουσι, καὶ τοῦτον ὑποστορνύμενον τὸν κατακλιθέντα, καθάπερ καὶ τὴν βοτάνην, ἣν πόλιόν φασιν, ἀπήμονα φυλάττειν καὶ τοῦτον παρὰ τῆς πείρας ἐσχήκαμεν. Ἔστι δὲ δυσῶδες τοῦτο καὶ φορτικὸν τοῖς ἑρπετοῖς τὸ πόλιον λίαν. Ὑποτεθὲν δὲ τῇ στρωμνῇ τό τε ἐχίειον καὶ ὁ νομαῖος ἕρπυλλος (ὃς τὸ ἀεὶ θάλλειν, οἶμαι, παρὰ τῆς φύσεως ἐδέξατο) τό τε ὀρίγανον, ὡσαύτως δὴ καὶ τὸ ἀβρότονον, ὃ χαίρει γιγνόμενον τοῖς ὀρείοις τόποις (δείκνυται δὲ τῆς αὐτῆς ὄντα δυνάμεως καὶ τάδε) τό τε τοῦ ἄγνου βρύον καὶ τὸ ὀνόγυρον, ἔτι μὴν καὶ ἡ κόνυζα ἰσχύει τὰ αὐτά. Καὶ ῥοιᾶς δὲ ὁμοίως* f. 397v *κλάδοι, | καὶ ὁ ἀσφόδελος χλωρὸς ὢν καὶ οὑτοσί, ἣν τύχῃ, τό τε στρύχνος καὶ ὅ τινες μὲν σκύρα, ἕτεροι δὲ ἐρυθρόδανον ἐπονομάζουσιν, τὴν ἴσην εἰς τὸ διασῴζειν παρέχεται τοὺς ἀνθρώπους δύναμιν ἀπὸ τῶν θηρίων, ἢν ὑποστορέσασθαί τις αὐτὰ βουληθῇ. Τὰ μέντοι σκύρα τοῖς βουκόλοις ἐστὶν ἐχθρά, ὅτι αὐτοῖς οὐκ ἀνέχονται αἱ βόες φαγοῦσαι ἡσυχίαν ἄγειν, ἀλλὰ ἐξοιστρῶσιν. Ἱκανὸν δέ ἐστιν ἐκδιώκειν καὶ τὸ πευκέδανον τὰ θηρία ταῦτα· τῆς γοῦν ἀποφορᾶς*

5 *ἑρπετῶν* A: *ερπετω* V ‖ *βουλομένοις* Buss : *βουλόμενοι* codd (sed *-ιοις* fort iam praebet V) ‖ 7 *ὑποστορέσασι* edd : *υποστορησασι* V *ὑποστρώσασι* A ‖ *αὑτοῖς* Buss. Gual. : *αὐτοῖς* Schn cum A ‖ 10 *ὑποστορνύμενον* V: *ὑποστρωννύμενον* A ‖ 12 *φυλάττειν* A: *-ττει* V ‖ 16 *τό τε ὀρίγανον, ὡσαύτως* 22 *καὶ ὅ* (sic A: *ὃν* V, edd) sic distinxi: alio modo dist. Gual. de quo cf. Sur les Thér. p. 84, n 4 et p 86 ‖ 24 *ὑποστορέσασθαι* edd : *υποστορησασθαι* V ‖ 25 *μέντοι σκύρα* A: *μεντοισχυρα* V.

ὅσον καὶ τῷ πυρὶ προσομιλῶν ἀνάλωτος μένει· δαπανηθῆναι γὰρ ὑπὸ πυρός, ἐπεὶ μὴ φύσιν ἐδέξατο ταύτην οὗτος, οὐδεμία θέμις. f. 395v | Καὶ τὴν τῆς βοτάνης δὲ ἐκείνης κόμην, ἣν καλοῦσι βλάχνον, ἔνιοι δὲ πτέριν, ἐπιβαλλομένην τῷ πυρὶ καὶ θυμιωμένην τοῖς ἑρπετοῖς αἴτιον φυγῆς θηρίοις γίγνεσθαι. f. 396r | Γίγνεσθαι δὲ οὐδὲν ἧττον τὰ αὐτὰ θυμιωμένης τοῖς ἑρπετοῖς τῆς λιβανωτίδος, ἣν οἱ πολλοὶ μὲν κάχρυ προσαγορεύουσιν ἀπ' αὐτῆς τῆς ῥίζης θέμενοι τὴν ἐπωνυμίαν· ἔστι γὰρ παραπλησία ἡ ταύτης ῥίζα τῇ τῆς κριθῆς ῥίζῃ. Ταύτῃ μέντοι τῇ λιβανωτίδι καρδάμου τε ἐπιμίξας νεαροῦ καὶ δορκείου τὸ ἴσον κέρατος προφυλακτικὸν τῶν ἑρπετῶν ἐναποτελέσεις θυμίαμα. Ὁμοίως δὲ καὶ τὸ μελάνθιον ἡ βοτάνη, ἀσφάλτου καὶ θείου κατὰ τὸ ἴσον συμμιγέντων αὐτῷ, θυμιώμενον τῇ δυσχερείᾳ διώκειν τῆς ὀδμῆς τὰ θηρία δύναται. Δύναται δὲ τὰ αὐτά τις καὶ Θρᾴκιος λίθος θυμιώμενος ἀποτελεῖν, ὅς, ἐὰν μὲν πυρὶ παραδοθῇ, πρότερον ὕδατι λουσάμενος, πλέον ἐπάγεται f. 396v | πρὸς ἑαυτὸν τὸ πῦρ, ἐλαίου δὲ οὐκ ἀνέχεται καιόμενος, οὐδ' ἂν ὅλως ἴδοις ἔτι περὶ αὐτὸν τὸ πῦρ, ἣν σὺ τῷ λίθῳ καιομένῳ τούτῳ προσοίσῃς ἔλαιον. Καὶ ἡ μὲν φύσις, ὥσπερ ἔφην, τούτου τοιαύτη τοῦ λίθου, φέρει δὲ τοῦτον μὲν τὸν λίθον ποταμὸς ἐν Θρᾴκῃ, καὶ ἔστιν ὄνομα μὲν Πόντος τῷ ποταμῷ τούτῳ, εὑρίσκεται δὲ ἐν αὐτῷ, καὶ θυμιώμενος διώκει τῇ τῆς ἀποφορᾶς βαρύτητι τὰ γένη τούτων τῶν ἑρπετῶν. Ὑποχωρήσει δὲ οὐδὲν ἧττον ταυτὶ τὰ θηρία καὶ ἐκποδὼν στήσεται, ἐπιτιθεμένης μὲν τῷ πυρὶ χαλβάνης καὶ θυμιωμένης, μετὰ δὲ ταύτης χρωμένοις τῷ καπνῷ τῶν κεδρίνων ξύλων καὶ τῆς ἀκνήστιδος. Λύσεται τοιγαροῦν κατὰ τῆς γῆς τὰ μὲν αὐτῶν κάτω, τὰ δὲ εἰς ὕλας φευξεῖταί που, τὰ δ' εἰς ἐρημίαν, ἄδεια δὲ τῷ βουλομένῳ καθεύδειν, ἔνθα δ' ἂν ἕληται, κατὰ ταὐτὰ περιέσται

2 *ταύτην* V: *τοιαύτην* A fort. recte, cf. infra, l 20 || 12 *ἐναποτελέσεις* A: *-σῃς* V || 18 *ολως* (litteris *ολ* expunctis) V, fort. *ὡς* scrib. librarius voluit || 19 *σὺ* A: *σοι* V || cum *προσοίσῃς* cf. infra p. 9, 6 *οἴσει*, 29, 6 *διοίσει* et Alex. p. 70, 18 *ἐποίσωσιν* || 30 *ταὐτὰ* edd.: *ταῦτα* A *ταυτα* V.

πολλή. Καὶ τοῖς μὲν εὐπορεῖν δυναμένοις τῶν βοτανῶν τούτων τοσαῦτα εἰρήσθω.

57-79. Ὁπόσοις δέ ἐστιν ἐργῶδες καὶ κάματον φέρει, διὰ τὸ μὴ ἔχειν ἄρα αὐταῖς ἐν καιρῷ κεχρῆσθαι, τὸν ἀπὸ τῶν ἑρπετῶν βουλομένοις φυγεῖν περιγιγνόμενον κίνδυνον, χρηστέον τῇ λεγομένῃ καλαμίνθῃ τότε ὑποστορέσασι τὴν βοτάνην αὐτοῖς. Βουληθεὶς δ' ἂν εὕροις τὴν βοτάνην ταύτην ἐλθών που πλησίον ἢ ποταμοῦ f. 397r ἢ ἑλώδους τόπου. | Οὐ μὴν ἀλλὰ καὶ τὸν λύγον, ὃν ἄγνον λέγουσι, καὶ τοῦτον ὑποστορνύμενον τὸν κατακλιθέντα, καθάπερ καὶ τὴν βοτάνην, ἣν πόλιόν φασιν, ἀπήμονα φυλάττειν καὶ τοῦτον παρὰ τῆς πείρας ἐσχήκαμεν. Ἔστι δὲ δυσῶδες τοῦτο καὶ φορτικὸν τοῖς ἑρπετοῖς τὸ πόλιον λίαν. Ὑποτεθὲν δὲ τῇ στρωμνῇ τό τε ἐχίειον καὶ ὁ νομαῖος ἕρπυλλος (ὃς τὸ ἀεὶ θάλλειν, οἶμαι, παρὰ τῆς φύσεως ἐδέξατο) τό τε ὀρίγανον, ὡσαύτως δὴ καὶ τὸ ἀβρότονον, ὃ χαίρει γιγνόμενον τοῖς ὀρείοις τόποις (δείκνυται δὲ τῆς αὐτῆς ὄντα δυνάμεως καὶ τάδε) τό τε τοῦ ἄγνου βρύον καὶ τὸ ὀνόγυρον, ἔτι μὴν καὶ ἡ κόνυζα ἰσχύει τὰ αὐτά. Καὶ ῥοιᾶς δὲ ὁμοίως f. 397v κλάδοι, | καὶ ὁ ἀσφόδελος χλωρὸς ὢν καὶ οὑτοσί, ἣν τύχῃ, τό τε στρύχνος καὶ ὅ τινες μὲν σκύρα, ἕτεροι δὲ ἐρυθρόδανον ἐπονομάζουσιν, τὴν ἴσην εἰς τὸ διασῴζειν παρέχεται τοὺς ἀνθρώπους δύναμιν ἀπὸ τῶν θηρίων, ἣν ὑποστορέσασθαί τις αὐτὰ βουληθῇ. Τὰ μέντοι σκύρα τοῖς βουκόλοις ἐστὶν ἐχθρά, ὅτι αὐτοῖς οὐκ ἀνέχονται αἱ βόες φαγοῦσαι ἡσυχίαν ἄγειν, ἀλλὰ ἐξοιστρῶσιν. Ἱκανὸν δέ ἐστιν ἐκδιώκειν καὶ τὸ πευκέδανον τὰ θηρία ταῦτα· τῆς γοῦν ἀποφορᾶς

5 *ἑρπετῶν* A: *ερπετω* V || *βουλομένοις* Buss.: *βουλόμενοι* codd. (sed *-νοις* fort. iam praebet V) || 7 *ὑποστορέσασι* edd.: *υποστορησασι* V *ὑποστρώσασι* A || *αὐτοῖς* Buss. Gual.: *αὑτοῖς* Schn. cum A || 10 *ὑποστορνύμενον* V: *ὑποστρωννύμενον* A || 12 *φυλάττειν* A: *-ττει* V || 16 *τό τε ὀρίγανον, ὡσαύτως* ... 22 *καὶ ὅ* (sic A: *ὃν* V, edd.) sic distinxi: alio modo dist. Gual. de quo cf. Sur les Thér. p. 84, n. 4 et p. 86 || 24 *ὑποστορέσασθαι* edd.: *υποστορησασθαι* V || 25 *μέντοι σκύρα* A: *μεντοισχυρα* V

οὐκ ἄν ποτε ἀνασχέσθαι ὑπομείνειεν, κἂν ᾖ θρασύτατον τῶν ἑρπετῶν. Οὕτω κομιδῇ πονηρὸν καὶ λίαν δυσχερὲς ἡ ταύτης φαίνεται τοῖς ἑρπετοῖς τῆς βοτάνης πνοή. Καὶ ταῦτα μὲν ὠφελιμώτατα ἐπὶ κατακλινομένοις σφίσι τοῖς ἀνθρώποις γίγνεται πάραυτα καὶ ἐν ἐρημίαις ἢ καὶ πρὸ τῶν χηραμῶν ἢ καταδύσεων τιθέμενα οὐκ ἐᾷ προσελθεῖν. Καὶ οὕτως ἄρα τοῖς ἀνθρώποις τὰ τῶν βοτανῶν τῶν τοιούτων εἴδη ἐξεύρηταί τε παρὰ τῆς φύσεως καὶ πρὸς σωτηρίαν.

f. 398r *80-96. Ὁπόσα δὲ ἀλειψαμένους οὐκ ἐᾷ φοβεῖσθαι τὴν | ἐκ τῶν θηρίων ἐπιβουλήν, ἀλλὰ ἀναχωρεῖν ἐπὶ πόδα καταναγκάζει δή που ταῦτα καὶ παρασκευάζει, χρηστέον ἔπειτα καὶ τούτοις εἰς τὴν σωτηρίαν. Τὸν τῆς κέδρου καρπὸν καὶ τὸ πευκέδανον καὶ ὄρειον τὴν βοτάνην οὕτω καλουμένην ἐμβαλὼν ἐλαίῳ ξηρανθέντα, κοπέντα μέντοι καὶ ταῦτα μετὰ τῶν φύλλων τῆς κονύζης, εἶτα ἀλειψάμενος οὐ προσήσεται τὴν βλάβην, οὐδὲ ἀναμενεῖ παρ᾽ ἐκείνων κακόν τι πείσεσθαι. Καὶ ἡ ῥίζα δὲ τοῦ σιλφίου καὶ ἐλελίσφακος, ἐμβληθέντα καὶ ταῦτα ἐλαίῳ, ὁμοίως βοηθεῖ. Ἴδοις δ᾽ ἂν ἀποστραφὲν οἶμαι καὶ ὀλιγωρῆσαν προσπτυσθὲν ἑρπετόν· βαρύνεται γὰρ ἱκανῶς καὶ ἀνατρέπεται τὸ θηρίον, ἣν ἀνθρωπείου ἂν τύχῃ ὀδμῇ που σιέλου. Ἔστι δὲ δὴ καὶ τὸ διὰ κάμπης ἀπηχθημένον βοήθημα τοῖς ἑρπετοῖς λίαν· μετὰ γὰρ τῆς λεγομένης ἀγρίας μαλάχης τοῦ καρποῦ ἐμβληθεῖσαι ἐλαίῳ κάμπαι καὶ ἀνατριφθεῖσαι ἱκανώτατα τοὺς χρησαμένους ὀνίνησιν, ὥστε ἀτρώτους τὸν ἅπαντα καὶ ἀνεπιβουλεύτους τῶν θηρίων* f. 398v *τούτων διαβιοῦν χρόνον. | Ἦν δὲ καὶ δύο κλῶνες κοπῶσιν ‹ἀβροτόνου› καὶ πάνυ εἰς λεπτὸν μετά γε μὴν καρδάμου τὴν*

7 *εἴδη* edd : *ηδη* V ‖ 11 *παρασκευάζει* A: *-ζειν* V ‖ 12 *εἰς τὴν σωτηρίαν* V: possis melius *εἰς σωτ-* ‖ 15 *προσήσεται* (v. *προσίεμαι*) Buss : *προσοίσεται* V *προσείσεται* Schn. ‖ 20 *ἣν. ἂν* si correctum, hapax esse videtur: *ἂν* om. A fort. recte ‖ *ὀδμῇ* scripsi: *οδμη* VM *ὀδμὴ* A *ὀδμῆς* Buss. Gual., sed cf. Sur les Thér. p. 86 sq. ‖ 21 *σιέλου* A (*σιαιλου* V): *σιάλου* edd. ‖ 24 *χρησαμένους* VM: *χρισ-* A fort. recte ‖ *ὀνίνησιν* codd.: *ὀνίνασιν* Buss. Gual., sed cf. Sur les Thér. p. 87 ‖ 25 *ἀπὸ* post *ἀνεπιβουλεύτους* add. Gual. monente Cazz., sed cf. Sur les Thér. p. 87 et Giangrande, p. 101 ‖ 27 *ἀβροτόνου* add. Gual., «excidisse *ἀβροτόνου* videtur» Buss.

ὁλκὴν ἄγοντος εἰς ὀβολὸν καὶ δαύκου τῆς βοτάνης τοῦ καρποῦ μήπω ξηρανθέντος, ὥστε μὴ πλέον εἶναι σύμπαν ἢ ὁπόσον ἀνδρὸς χεὶρ δυνατὴ δέχεσθαι, εἶτα τρόχια γενόμενα σμικρὰ ἐν ἀνηλίῳ μὲν ἄλλως, προσηνέμῳ δὲ χωρίῳ ξηρανθείη σφόδρα, τῶν τροχίων μετὰ ταῦτα τούτων ἀνεμένων εἰς ἔλαιον, οὐδεὶς μήποτε μέμψιν οἴσει τῇ τοῖς χρωμένοις τῷ ἐλαίῳ τούτῳ παραγιγνομένῃ βοηθείᾳ.

97-117. Οὐ μὴν ἀλλ᾽ εἰ καὶ δύο εὕροι τις θηρία ἀλλήλοις ἐντυγχάνοντα καὶ συμπεπλεγμένα διὰ τῆς μίξεως, εἶτα λαβών, ἐμβαλὼν ζῶντα ταῦτα συμπεπλεγμένα καὶ ἐν εἴδεσίν τισιν εἴς τι δηλαδὴ σκεῦος προεψῆσαι χρησίμως ταῦτα κατεσκευασμένον ἕψεσθαι ποιείτω· δυνάμενον ῥύεσθαι γὰρ καὶ προανέχειν πάνυ σφόδρα ποιήσει φάρμακον τὸν ἀπὸ τῶν ἑρπετῶν περιγιγνόμενον τοῖς ἀνθρώποις ὄλεθρον οὐ μήποτε συγχωροῦν εἰς ἔργον προελθεῖν. Συνεψείσθω δὲ τοῖς θηρίοις τούτοις ἄρτι που τυθέντος αὐτοῖς μυελὸς ἐλάφου· δραχμαὶ δὲ ἔστωσαν μὲν περὶ τὰς τριάκοντα ὁ σταθμὸς τούτου τοῦ μυελοῦ· ῥοδίνου δὲ ἐλαίου τὸ ἐμβαλλόμενον εἰς f. 399r *ταῦτα τριτημόριον ἔστω χοός· ἔστω δὲ ἀπὸ τοῦ | ῥοδίνου τοῦ εἰκῇ μὲν οὐδὲν οὐδὲ ἁπλῶς κατεσκευασμένου, ἀλλ᾽ ὅ φασι τοὺς μυροπώλας ὀνομάζειν τριπτόν· ναὶ μὴν καὶ ὠμοτριβοῦς ἐλαίου μέτρον ἴσον τῷ ῥοδίνῳ ἐμβάλλεσθαι καλόν, κατὰ ταὐτὰ δὲ καὶ τὸν κηρόν, τέταρτον τοῦ τῶν τριάκοντα ἐλ-*

2 post *εἶναι* add. *τὸ* Schn ‖ 4 *ξηρανθείη* MA (*ξηρανθει η.* V): *ξηρανθῇ* Buss. Gual. *ξηρανθὲν* Schn., sed cf. Sur les Thér. p. 87 ‖ 10 *λαβών, ἐμβαλὼν* V: *λαβὼν καὶ ἐμβαλὼν* A ‖ *καὶ ἐν εἴδεσιν* V: *σὺν εἴδεσι* A ‖ 11 *προεψῆσαι* VM: *καὶ ἑψησο†* A *προσεψῆσαι* Buss ‖ 12 *ἕψεσθαι. γὰρ* V: *ὠφελίμως καὶ δυνάμενον ῥύεσθαι θανάτου* A ‖ 13 *προανέχειν* V: *προσανέχειν* A, Buss. *αὐτῷ* post *προσανέχειν* add. A ‖ 16 *αὐτοῖς* om. A fort. recte; an *αὐτοῖς* dativus agendi ad partic. *τυθέντος* putandum sit? ‖ 20 *ουδεν* ex *ουδε* corr. et *ουδε* s. l. rest. V ‖ 21 *τριπτόν* codd.: «an *‹πολύ›τριπτον*? cf. Nic. Ther. 104 et schol. ad loc.» Gual. ‖ 22 *ἐλαίου* Schn. *ἐδέμου* codd. (*ἐλαίου* add. m. rec. A in marg.) ‖ 23 *ταὐτὰ* Schn. Gual.: *ταῦτα* A, Buss. ‖ *τοῦ τῶν* scripsi: *τουτων* V *τοῦ τὸν* A *τούτου τῶν* edd. post Schn., sed cf. Sur les Thér. p. 87

κοντος δὴ σταθμόν· ἔστ᾽ ἂν δὲ περιρρυῶσιν ἑψομένων αἱ σάρκες τούτων τῶν ὄφεων καὶ συντακῶσιν, ἐπιμελῶς ἐξαιρεῖν μὲν χρὴ φροντίζοντα καὶ ἀποχωρίζειν μακρὰν σφῶν τὰς ἀκάνθας· εἶναι γὰρ ἰόν τινα εἰς αὐτὰς καὶ κακίαν πολλήν. Ἐπιμελὲς δὲ γιγνέσθω κινεῖν ταῦτά σοι τοῦ λοιποῦ πάντα, καὶ ἅμα πάντα μειγνύναι καὶ ὡς ὅτι μάλιστα ἀποτελεῖν εἰς ἕν· ἢν γὰρ οὖν τις ὅλως ποτὲ καθ᾽ ὁδὸν τύχῃ ἢ καὶ τὰ τοῦ θέρους ἔργα μετὰ χεῖρας ἔχων, ὁπότε αὐτὰ ἑαυτῶν χαλεπώτερα τυγχάνει καὶ βλαβερώτερα τοῖς ἀνθρώποις, ἢ τυχὸν ἀλοῶν ὁστισοῦν ἢ λικμῶν τὸν σῖτον ἢ ὑπνῶν ἢ ποιῶν ὁτιοῦν, ἄχριστος δὲ μὴ εἴη τούτου μηδὲ ἀνήλειφος τοῦ φαρμάκου, μακρὰν ἀπέσται τοῦ ἀνθρώπου ταῦτα, τούτων κἂν ἐγγὺς ὢν τύχῃ. Εἰ δὲ προσάψεται μὴ προαλειψαμένῳ ἢ τροφῆς μὴ μετειληφότι ἀνθρώπῳ θηρίον, ὁπότε μᾶλλον ἀναλίσκεται καὶ ἐνεργοτέραν ὁ πληγεὶς δέχεται τὴν βλάβην, οὐδὲν ἧττον ἐπαμῦναι καὶ τούτοις δυνήσει τοῖς λέγεσθαι μέλλουσιν περὶ τούτων ὑπ᾽ ἐμοῦ χρώμενος. Ἔρχομαι δὲ λέξων ὁπόσα ἐστὶν τῶν βλαβερῶν τέως κατ᾽ εἶδος θηρίων. |

f. 399v 118-127. Ἡ διψὰς τὸ μὲν πάχος ἐπὶ πλέον ἔχειν τοῦ ἄρρενος αὐτὴ καὶ τὸ μῆκος δοκεῖ, τὸν δὲ θυμὸν δυσχερὴς πάνυ τις τυγχάνει καὶ ἀνυπόστατος· ὁ δὲ θάνατος ὀξύτερον τοῖς ὑπ᾽ αὐτῆς δηχθεῖσιν ἀπαντᾷ· οὐκ ἄν ποτέ τις ῥαδίως πληγεὶς ὑπ᾽ αὐτῆς τὸ καθ᾽ ἑαυτὸν διαφύγοι. Ἔστι δὲ ὥρα τοῦ ἔτους καὶ ἀνίσχουσιν αἱ Πλειάδες· μόλις ἂν ἴδοις αὐτὰς ὑποφαινομένας πλησίον τοῦ Ταύρου. Ἐνταῦθα δὴ θερ-

1 δὴ V: δεῖ A ‖ περιρρυῶσιν A: περιρυωσι M περι|+υσι V ‖ ἑψομένων Schn.: -νον V ἑψόμεναι A ‖ 2 ἐξαιρεῖν edd.: εξαιρειν V ἐξαίρειν MA fort. recte ‖ 3 μακρὰν ci. Schn. Buss. (quod glossema ex ἑκὰς Ther. 110 ortum censet Cazz.): μακρας add. in mg. V τὰς ἀκάνθας τὰς μακρὰς MA μακρας del. Gual. ‖ 7 καθ᾽ ὁδὸν τύχῃ A, edd.: καθοδωντυχη V καθ᾽ ὁδ <ὸν> ὢν τύχῃ Gual., sed cf. Sur les Thér., p. 87 ‖ 10 τυχὸν V: τυχὼν A ‖ 10 sq. ἢ ποιῶν ὁτιοῦν A: ηπαιωνοτιουν V quibus verbis seclusis ἢ παίων ante ἢ λικμῶν add. Gual. (coll. Ther. 114 et schol. ad loc.), sed cf. Sur les Thér., p. 87 ‖ 20 αὐτὴ A, rec. Gual.: αὕτη Schn. Buss. ‖ 23 τὸ καθ᾽ ἑαυτὸν V: τὸν θάνατον A.

μαινομένη καὶ ὧν ἐτεκνώσατο τῆς ἀνατροφῆς φροντίζουσα, δεινοτέρα προσελθεῖν ἀνθρώπῳ γίγνεται, ποτὲ μὲν ἔξω τῆς εὐνῆς καὶ ἐπὶ τὰς νομὰς ἐρχομένη, ποτὲ δὲ ἐπανιοῦσα ἐπὶ τὸν φωλεὸν ἐκ τῆς νομῆς καὶ τροφῆς κεκορεσμένη καὶ ὕπνου ποτὲ μετασχεῖν θέλουσα.

128-144. Ἐκτρέπεσθαι δὲ χρὴ καὶ προορᾶν διαφυγόντος ἔχεως τὸν ἐπὶ τῇ συνουσίᾳ παρὰ τῆς θηλείας αὐτῷ περιγιγνόμενον θάνατον, <μ>ὴ ἐν ὁδῷ ποτε ἢ ἐν ἄλλῳ τῳ χωρίῳ περιπεσεῖν τινα. Ἡ μὲν γὰρ θήλεια συμπλακέντος ἄρα αὐτῇ καὶ συμμειγνυμένου τοῦ ἄρρενος, ἐμφῦσα τοὺς ὀδόντας κατὰ τοῦ αὐχένος, ἀποκόπτει αὐτοῦ τὴν κεφαλήν· οἱ δὲ ἀπ᾽ ἐκείνου ἐν τῇ γαστρὶ τὴν ὑπὲρ σφῶν τοῦ πατρὸς δίκην βουλόμενοι λαβεῖν, ἥκιστα μὲν τὴν ὥραν ὡς αὐτοὺς ἀποκυηθῆf. 400r ναι ἐκδέχονται, | διαφαγόντες δὲ τὴν γαστέρα ἄλλος ἀλλαχόθεν γίγνονται μὲν ἀσινεῖς αὐτοὶ καὶ ἔξω {του} τοῦ τόκου, τὸ δὲ μὴ τὴν ἀπὸ τῶν τέκνων ἐπ᾽ αὐτὴν ἐλθεῖν διαφθορὰν ἀμήχανον φυγεῖν. Μόνη δὲ τῶν ἄλλων ἑρπετῶν ἡ ἔχις ἐγκύμων γίγνεται, τὰ δὲ ἄλλα τοῦτον μὲν οὐδαμῶς πέφυκε γίγνεσθαι τὸν τρόπον, τίκτουσι δὲ ᾠὰ καὶ θάλπουσιν αὐτά, ἔπειτα μέντοι ἐντεῦθεν γίγνεσθαι φιλεῖ τὰ τούτων, καὶ τὴν τάξιν τοῦ εἶναι ἀεὶ διαφυλάττειν ἀκέραιον. Ἀλλὰ μὴν ὁπόταν καὶ τύχῃ ἀνηβῶσά τε καὶ ἐπανιοῦσα εἰς τὴν νεότητα ἐκ τοῦ γήρους, τῇ τε ἀκμῇ χαίρουσα καὶ αὐτῷ τῷ τάχει, {ἐν ὀφθαλμοῖς ἔλθοις τούτου} μή σύ γ᾽ ἐναντίος ἔλθοις τούτῳ τῷ θηρίῳ, μηδ᾽ ὅτ᾽ ἀνιμήσασθαι αὐτὴν ἐπιχειρήσαντος ἐλάφου τὸν θάνατον διαφυγοῦσα ἀνθρώπου προσψαύσειεν ἐλθοῦσα μέλεσιν· οὐδὲ γὰρ ἄν ποτε περιέσται ὁ τῷ χόλῳ τῷ

Ab l. 6 usque ad l. 14 vix legi potest V ‖ 8 μὴ Gual.: η V ἢ A ‖ 9 περιπεσεῖν A: περιπεσιν V περιπέσῃς ci. Gual., sed cf. Sur les Thér. p. 87 sq. ‖ 10 συμμιγνουμενου V ‖ 14 διαφαγόντες M: διαφ+γοντες V ἀναφαγόντες A ‖ 15 του secl. vel τούτου τοῦ scrib. esse ci. Buss. ‖ 20 μέντοι MA: μέντε+V ‖ 22 ανεβωσα V ‖ 24 ἐν ὀφθαλμοῖς ἔλθοις τούτου ut glossam verborum ἐναντίος ἔλθοις τούτῳ τῷ θηρίῳ uncis secl. Buss.: serv. Gual. ‖ μὴ: «an ἢ?» in adp. Gual. cl. Ther. 139, sed cf. Sur les Thér. p. 88 ‖ 25 ὅτ᾽ ἀνιμήσασθαι codd.: ὅταν ἰχνεύσασθαι Gual. monente Cazz. cl. Ther. 142, sed cf. Sur les Thér. p. 88.

ταύτης καὶ τῇ ἀνάγκῃ περιπεσών. Ἀπηχθημέναι δέ εἰσι δεινῶς αὗται ταῖς τε ἐλάφοις καὶ τοῖς νεβροῖς. Καὶ πανταχοῦ περινοστοῦσι τά τε δύσβατα τῶν χωρίων καὶ τὰς αἱμασιὰς οἱ ἔλαφοι, τὸν διὰ τῆς σφῶν ἀναπνοῆς ἐπάγειν τοῖς ἑρπετοῖς τούτοις βουλόμενοι μόρον. |

f. 400v 145-156. *Ἔστι δὲ οὕτω τις τόπος Ὄθρυς καλούμενος τά τε ἄλλα δυσχείμερος ὢν καὶ κομιδῇ τραχύς, εὔφορος δέ ἐστιν ὅδε τῶν ἑρπετῶν λίαν, καὶ αὐτὰ ἔχουσιν αἱ φάραγγες, καὶ ὅσοι δέ εἰσιν ἀλλαχόσε τραχεῖς καὶ δασώδεις τόποι πλῆθος τούτων βόσκει τῶν θηρίων. Μορφὰς δὲ ἀμείβει μὲν ὁ σήψ πάνυ πλείστας ὅσας, μεταβάλλεται δὲ τὴν ἰδέαν, καὶ δοκεῖ φαίνεσθαι τοῖς ὁρῶσι χωρίον ἤ τι τοῦ χωρίου, ἵναπερ ποιεῖται τὴν δίαιταν. Τούτων δὲ ὅσοι μὲν τῶν θηρίων συλλίθους τε καὶ ἐρημοτέρους τῶν τόπων νέμονται, ὀλίγοι μέν εἰσι τὸ μέγεθος, ἄγριοι δὲ δεινῶς, τὴν δὲ ὁρμήν εἰσι διάπυροι καὶ συντόνως ὀξεῖς, τὸ δὲ δῆγμα οὐχ οἷόν τε αὐτῶν ποτε μὴ καὶ διαφθείρειν. Ἐπανθεῖ δὲ ἐνίοις ἡ χροιά, τοῖς μὲν ὁποῖον δὴ λίθος, τοῖς δέ γε χλωρόν, οἷον καὶ ὅμοιον ἰῷ, ἄλλοις δὲ οἷον ἡ ἐν ψάμμῳ δίαιτα χρῶμα περιποιεῖ.* |

f. 401r 157-189. *Ὁρᾶν δὲ ἔξεστι καὶ ταύτην ἀπὸ τοῦ εἴδους σοι τὴν ἀσπίδα καὶ καταμανθάνειν ὡς τό τε ὄνομα φοινήεσσα ἀπὸ τοῦ σχήματος ἐδέξατο· φοβερά τε γάρ ἐστιν ἥδε καὶ ὑπὲρ τὰς ἄλλας, καὶ δὴ καὶ προσψαῦσαι ἀνθρώπου σώματι χαλεπὴ πέφυκεν. Συσπειρωμένη τοιγαροῦν καὶ ἄγουσα ἑαυτὴν ἐπὶ τὴν γαστέρα, ἐναντίαν τῷ τάχει ποιεῖται τὴν ὁδόν, μεγίστη δὲ οὖσα νωθής ἐστιν· ἡ κίνησις αὐτῇ γίγνεται μετὰ ῥαθυμίας, βαρυνομένους δὲ ἔοικεν ἔχειν τοὺς ὀφθαλμοὺς ὕπνῳ, καὶ σφᾶς συμμέμυκεν ὡς τὰ πολλά. Ὅταν τοίνυν τις κτύπον τινὰ ἄλλως ἢ ψόφον ποιήσῃ, καὶ θεάσηται φῶς ποτε αἰφνιδίως φανέν, αὐτίκα ὥσπερ καὶ ἐξ ὕπνου διανισταμένην αὐτὴν ὄψει καὶ γοργὸν βλέπουσαν, συνάγουσάν τε αὐτὴν καὶ*

4 *τὸν* A: *τὴν* V ‖ 6 *Ὄθρυς τόπος Θεσσαλίας* add in mg V ‖ 7 *τραυς* V ‖ 10 *μὲν* MA: *με* V ‖ 23 *προσψαῦσαι* scripsi (cf Sur les Thér., p. 88); possis etiam *προσάψασθαι* cf infra, p. 41, 7 *ἐὰν προσάψηται ἀνθρώπου σώματι*: *εναυσαι* VM *ἐναῦσαι* A *ἐγγίσαι* ci Schn ‖

συσπειρωμένην, εἶτα ἐκ μέσης τῆς συστροφῆς ὀρθουμένην τε
f. 401v *τὴν κεφαλὴν ἴδοις ἂν καὶ ὀργῇ ζέουσαν.* | *Διαφέρει δὲ κατὰ πολὺ οὐ μόνον ἥδε τῷ μεγέθει τῶν ἄλλων ἀσπίδων, ἀλλὰ καὶ τῷ εἴδει. Μήκους μὲν γὰρ μέτρον παρέχεται πλέον ἢ ὅσον ἔχειν μέτρον ὄργυιά τῳ δοκεῖ, τὸ δὲ δὴ πάχος τῷ ἑαυτῆς πάντως ἀναλογοῦν μήκει, θηρῶντος λέοντας καὶ κάπρους τινὸς οἷον ἂν ἴδοις ἀκόντιον τίθει δή. Τὴν χροιὰν <οὐχ> ἡ αὐτὴ πάντοτε, ἀλλὰ ὑπαλλάττει, καὶ ποτὲ μὲν ποικιλλομένη, ποτὲ δὲ ὡς τέφρα γιγνομένη, καὶ αὖθις μηλινοειδής, καὶ ἄλλοτε μελαινομένη, καὶ ἄλλοτε εἰς ὄψιν ἄγει τοὺς ὁρῶντας ἑαυτὴν τῇ χροιᾷ μιμουμένη ζόφον· οἵαν δὲ ὁ Νεῖλος χροιὰν ἐξ Αἰθιοπίας ἔχων ἐπισυρόμενος τὴν γῆν ἔρχεται τὸ ἐντεῦθεν ἐπὶ τὴν θάλασσαν, μάλιστα ἐμφερής ἐστιν ἥδε ταύτῃ τῇ ἰδέᾳ· ἔχει δὲ ἔνερθε τοῦ μετώπου σημεῖα δή τινα, οἷον δύο ὀφρύων δυνάμενα διασῴζειν σχῆμα· ὑπὸ τούτοις κινουμένους τοῖς τύλοις πυρώδές ἐστιν ἰδεῖν τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ γοργὸν βλέποντας, ἰλυσπωμένη δὲ ὡς τὰ πολλά, καὶ μήτ' ἄγαν ἐκτεινομένη μήτε τὴν σπεῖραν συνηγμένην παντελῶς ἔχουσα, ἀλλ' οἷον εἰκῇ καὶ μετρίως ἀμφοτέρων ἐν ταὐτῷ τὸ σχῆμα σῴζουσα, εἰς ὕψος αἴρεται μὲν τὸν αὐχένα, ἐνορᾷ δὲ δεινόν τι καὶ αὔθαδες λίαν, οἰδαινομένη καὶ σπεύδουσα παραδοῦναι τὸν πληγέντα ὑφ' αὐτῆς ἀνημέρῳ μοίρᾳ. Ἔχει δὲ τοὺς ἐξέχοντας μὲν ὀδόντας τέσσαρας· κοῖλοι δέ πώς εἰσιν οἵδε καὶ μᾶλλον ἀγκύλοι. Ὁ δὲ ἰὸς παράκειται τοῖς ὀδοῦσιν ἐγγύς, καλύπτονται δὲ ὅμως οὗτοι καὶ ὁ σῴζων τὸ σχῆμα τοῦτό ἐστιν αὐτοῖς ὑμήν. Οὐκ ἂν διαφύγοι τὸν θάνατόν ποτε ὁ δηχθεὶς ὑπ' αὐτῆς. Τοῖς οὖν ἀπηχθημένοις παρ' ἡμῶν ἐμπέσοιεν αἵδε· οὐ γὰρ οἷόν τε τὸν ἁλόντα τῷ θηρίῳ ποτὲ τούτῳ ἢ οἴδησίν τινα*

3 *οὐ μόνον* A: *ΘΥΜΟΝΟΝ* V ‖ 5 *ὄργυιά* scripsi: *ὀργυιά* A, edd ‖ 7 sq. *ἀκόντιον πάντοτε* V: *ἀκόντιον Τίθει δὴ καὶ ταύτης τὸ μέγεθος, φαίνεσθαι δὲ οὐκ ἐθέλει τὴν χροιὰν ἡ αὐτὴ πάντοτε* MA ‖ *οὐχ* add Schn.: textum codicum def Giangrande, p 101 ‖ 10 *ὄψιι* susp Gual sed cf Sur les Thér. p. 89 et Giangrande, p. 101 ‖ 11 *ἑαυτὴν* V: *αὐτὴν* A ‖ 22 *ὑφ' αὐτῆς* VM: *ὑπ' αὐτῆς* A ‖ 23 *τοὺς* A: *του* VM ‖ 24 *εἰσιν οἵδε καὶ* scripsi: *εἰσιν, οἱ δὲ καὶ* edd, sed cf Sur les Thér p 89

ὑπομεῖναι ἢ φλεγμονῆς ὄγκον, ἀλλ' οἷον οἱ νωθεῖς καὶ κατεσχημένοι [ἐκ τοῦ ὕπνου, ὀλίγα τῶν ὄντων φροντίζοντες, ἐπισύρονται τὴν ἀργίαν καὶ ἀναισθησίαν, ὑποκλεπτομένην ἕξεις ὁρᾶν κατὰ βραχὺ καὶ τούτου τὴν ζωὴν καὶ ὑπονοστοῦσαν καὶ οὐδὲν ἄλλο ἢ ἐξ ὕπνου τῷ θανάτῳ παραδιδόμενον τὸν ὑπὸ τούτου που δηχθέντα πικρῶς τοῦ θηρίον.

190-208. Ἔχουσι μὲν ἀλλήλοις ἀπεχθῶς καὶ ἔρχονται διὰ μάχης ὅ τε δὴ ἰχνεύμων καὶ ἡ ἀσπίς, ὥστε μὴ μόνον ἀποχωρεῖν ἀνάλωτον ὄντα ὑπ' ἐκείνης αὐτὸν καὶ νενικηκότα, ἀλλὰ καὶ διερευνώμενον ἔρχεσθαι ἐπί τε τὴν εὐνὴν καὶ τοὺς χηραμοὺς τῶν ἀσπίδων, ἵνα δὴ αὐταὶ ἐκεῖναι τὰ ᾠὰ τίκτουσιν, εἶτα ἀνατρέπειν τὰ ἐκείνων τοῦτον καὶ διαφθείρειν τοῖς ὀδοῦσι πάντα. Ἡ δὲ μορφὴ τοῦ ἰχνεύμονός ἐστί τις τοιάδε. ἐμφερής ἐστι τῇ ἴκτιδι, παρ' ὅσον ἡ μὲν πολεμίως ἔχειν τοῖς ὀρνέοις δοκεῖ, καὶ ἐπιπηδᾷ πολλάκις μὲν αὐλιζομένοις, πολλάκις δὲ ἁπλῶς τούτοις καὶ ἐπὶ ξύλου καθημένοις, καὶ ἐν οἷς τίκτουσι χωρίοις, καὶ ἐν οἷς τρέφουσιν ὁμοίως, καὶ οὐ φυλάττουσι τὰ ἐξ αὐτῶν, ὄλεθρον ἐπάγουσα τοῖς παραφανεῖσι τῶν ὀρνέων. Οὑτοσὶ δὲ τὴν ἀσπίδα ἣν μόνον θεασάμενος ὁ ἰχνεύμων τύχῃ ἐν τῇ Αἰγύπτῳ ἐν χωρίῳ κατηρεφεῖ τινι, ἵεται ἐπ' αὐτήν, τὸ μὲν πρῶτον ἁλάμενος κατὰ τοῦ ποταμοῦ ἢ ἰλύος τινός. εἶτα ἐμπεσὼν εἰς αὐτὴν καὶ διαταράξας καθ' ὅλον τοῦ σώματος ἤνεγκε τὸν πηλόν. χρόνον δέ τινα διαλιπών, ἕως οὗ περὶ τὴν δορὰν ξηρανθεὶς ὁ πηλὸς ἱκανὸς γένηται ῥύεσθαι τῶν ὅσα ἐν τῷ ἀγῶνι γένοιτ' ἂν εἰς αὐτὸν ὑπὸ τοῦ θηρίου, κρατήσας δὴ τὸ ἀπὸ

2 ab *ἐκ τοῦ ὕπνου* usque ad p. 16, 23 *φαινόμενος* deest V ‖ 2 sq *φροντίζοντες ἐπισύρονται* M: *φροντίζων ἐπισύρεται* A ‖ 4 *ἕξεις* Buss., cf. etiam p. 32, 6; 37, 17: *ἐξ ἧς* M *ἑξῆς ἐστιν* A ‖ alt. *καὶ* secl. Schn. Gual. cum A, sed cf. Sur les Thér. p. 89 ‖ 8 *ὅ τε δὴ* MA: *ὁτὲ δὲ* Gual. *ὅτε δεῖ* edd. cett., sed cf. Sur les Thér. p. 89 ‖ 11 *δὴ αὐταὶ* Schn. Gual.: *διαυταῖς* M *δὴ αὐταῖς* A *δι' αὐταῖς* Band.; an *δὴ αὐταῖς*? (cf. Sur les Thér. p. 89) ‖ 14 *ἴκτιδι* scripsi cum A (cf. Sur les Thér. p. 90): *ικτηδη* vel *ικτιδη* M *ἰκτίδι* edd. ‖ 18 *τρέφουσιν ὁμοίως, καὶ* scripsi: *τρέφουσι, ὁμοίως καὶ* Gual. ‖ *αὐτῶν* scripsi: *αὑτῶν* A, edd. ‖ 25 *ἱκανὸς* A: *ἱκανῶς* M ‖ 26 *δὴ* A: *δὲ* M, edd.

τούτου καὶ περιγενόμενος εἰς τέλος τῆς μάχης, ἀνέχεται μὲν οὐδαμῶς, οὐδὲ περιμένει στῆναι εἴσω τοῦ πράγματος, ἐπιπηδήσας δὲ ἅμα βρυγμῷ κατ' αὐτῆς ποτὲ μὲν τῆς κεφαλῆς ὁ ἰχνεύμων πάλιν, ποτὲ δὲ κατ' αὐτῆς ἐκείνης, ἣν τύχῃ, τῆς οὐρᾶς ἁρπάσας, κατὰ τοῦ ποταμοῦ ἐμβαλὼν αὐτὴν εἴασεν φέρεσθαι.

209-257. Ἔχιδναι δὲ οὐχ ὅμοιαι πανταχοῦ, οὐδ' ἂν εὕροις ἐχούσας αὐτὰς ἴσον τὸ μέγεθος. αἱ μὲν οὖν ἐν τῇ Ἀσίᾳ μεγάλαι εἰσὶ πάνυ, τὰς δέ γε μικρὰς ἡ Εὐρώπη τρέφει καὶ τῆς Εὐρώπης μάλιστα ὅσα τραχέα ἐστί, τὰ τῶν Μεγαρέων ὄρη, καὶ ὅσα ἐστὶ δυσπρόσοδα τῆς Αἰτωλίας καὶ χαλεπά, Κολοφῶνος δὲ τῆς ἐν τῇ Ἀσίᾳ τὰ ὄρη τοὺς μεγάλους <ἔχεις> ἔχει. Τούτων δὲ τὸ μὲν μέγεθος ὑπερογυιαῖον, τὸ δὲ εἶδος αἱ θήλειαι αὐτῶν εἰσί που τοιαίδε. τὰς κεφαλὰς πλατείας ἔχουσι, καί εἰσιν ἄλλως παχεῖς πᾶσαι, τὰς δὲ οὐρὰς σιμοτέρας ἕλκουσι, τὸ δέρμα ὁμοίως πεφολίδωται, τὴν ἰδέαν τραχεῖς, τὴν κίνησιν βραδεῖς, ὑπονωθέστεραι, ἔνθα καὶ ἔνθα ἀποκλίνουσαι ἐν ταῖς σφῶν πορείαις. οἱ δὲ ἄρρενες μὲν αὐτοὶ οὐχ ὁμοίως παχεῖς, τὸ δὲ μῆκος ἀδιάφοροι. εἰς ὀξὺ λήγουσιν αἱ κεφαλαὶ τούτων, τὰς δὲ οὐρὰς ἐναντίον ταῖς θηλείαις ἔχουσιν. ἐκείναις μὲν παραπλησίως τὰς φολίδας φέρουσι καὶ εἰς τὴν κίνησιν καὶ οἵδε οὐ ταχεῖς. πυρώδεις μέντοι τοὺς ὀφθαλμοὺς καὶ ὕφαιμοι δεινῶς, διπλῆ δὲ ἡ γλῶττα καὶ προΐσχεται ἥδε ὑπὸ τῶν θηρίων. Ὀδόντας δὲ ἔχουσιν ὁ μὲν ἄρρην δύο, εἰς δὲ διπλάσιον ἡ θήλεια, ὑπὸ δὲ τοῖς οὔλοις οἵδε κρυπτόμενον τὸν ἰὸν ἔχουσιν. ἡνίκα δ' ἂν ἀνθρώπου σώματι προσελθὼν ἅψηται τοῖς ὀδοῦσι, τηνικαῦτα, οὗπερ ἔκρυπτε τὸν ἰὸν τὸ θηρίον τοῦτο, τὸν τόπον καθαρῶς δείκνυσι. Τὴν δὲ ἰδέαν οὐχ ὁμοίαν ὁ ἰὸς τούτων τῶν ἑρπετῶν οὐδὲ τὴν αὐτὴν παρέχεται, ἀλλ' ἔστιν ὁτὲ μὲν ὑποφαινόμενος

2 *εἴσω* MA: *ἔξω* ci. Gual., sed cf. Sur les Thér. p. 90 ‖ 5 *καὶ* ante *τῆς οὐρᾶς* add. A, rec. edd., sed cf. Sur les Thér. p. 90 ‖ 12 *ἔχεις ἔχει* scripsi (cf. Sur les Thér. p. 90): *ἔχει* codd. *ἔχεις* pro *ἔχει* ci. Gual. ‖ 13 *ὑπερογυιαῖον* A: *-αῖοι* M ‖ 15 *παχεῖς* M (legi non potest A), rec. Gual.: *παχεῖαι* edd. cett. ‖ 27 *προσελθὼν* (scil. *ἄρρην*) codd., rec. Gual.: *προσελθὸν* edd. cett.

ὡς ἔλαιον, ποτὲ δὲ οἷον αἱματώδης, καὶ ἄλλοτε δείκνυσιν ἐν αὐτῷ τὴν ἀέρος χροιάν, καὶ ἄλλοτε δείκνυσιν οὐδεμίαν τούτων. Ὄγκος δὲ γίγνεται, καὶ πρῶτον μὲν ἔρευθος πολὺ περὶ τὸ πᾶν σῶμα τοῦ ταύτην ὑπομείναντος τὴν πληγὴν ἀνθρώπου· μετὰ δὲ τοῦτο φοινίττεται, καὶ ὠχρὸν εἶτα καὶ νεκρῶδες ὑπὸ τοῦ κακοῦ κατασταθὲν φλυκταίναις τε ἐξηνθηκὸς δείκνυται καὶ φλογώσεις ἐπιλαμβάνουσι· μετὰ δὲ τὸ ἐν βάθει πλῆθος τοῦ ὑγροῦ συρρυὲν ἀναδίδωσιν ἰχῶρας, καὶ ἕλκη πανταχοῦ τοῦ σώματος ἰσχυρά· σήπεται τοίνυν ἐν τούτοις ἐπινεμομένου τὸ πᾶν καθάπερ πυρὸς τὸ δηχθὲν σῶμα τοῦ ἰοῦ τῆς ἐχίδνης, λυγμός τε ἐπὶ τούτοις καρτερὸς καὶ ἀπονεύσεις τοῦ αὐχένος γίγνονται καὶ ἐγκλίσεις συχναὶ ἔνθεν καὶ ἔνθεν παρὰ μέρος, ἴλιγγοί τε ὡσαύτως καὶ δυσθυμίαι καὶ βαρύτης ὁμοίως περί τε τὰ σκέλη πολλὴ καὶ αὐτὴν τὴν ἰξύν, καρηβαρία τε ὅτι πλείστη καὶ σκοτοδινίαι συνεχεῖς καταλαμβάνουσι τὸν κάμνοντα, καὶ ποτὲ μὲν ὑπὸ δίψης οὗτος ὥσπερ φρυγόμενος συνέχεται, πολλάκις δὲ δὴ ῥίγει σφοδρῷ καὶ ἀμηχάνῳ πιεζεῖται, καὶ οἷον ὕδατος λυποῦντος λίαν αὐτὸν ψυχροῦ οὕτως ἀνιᾶσθαι δοκεῖ· καὶ τὸ ἀπὸ τοῦδε ψυχρότερος αὐτῷ τοῦ κρυστάλλου περιχεῖται ἱδρώς, καὶ ἔμετοι χολώδεις ἀκριβῶς γίγνονται, χρῶμα δὲ ἀμείβει ἐκ χρώματος, ποτὲ μὲν μέλας ὁ πληγείς, ποτὲ δὲ κυάνεος, ἄλλοτε ὡς ἄνθος χαλκοῦ, ἄλλοτε ἄλλο τι καὶ ὡς ἂν τύχῃ φαινόμενος].

f. 402r 258-281 *Ὅμοιον δὲ τὸ εἶδος τῷ ἔχει ὁ κεράστης ἔχει, παρ᾽ ὅσον ὁ μὲν αὐτοῖν τυγχάνει κεράτων ἄμοιρος, ὁ δὲ δὴ τοὔνομα ἐδέξατο ἀπὸ τοῦ πράγματος. Μορφαὶ δὲ τούτων εἰσὶν αὖ τῶν ἑρπετῶν δύο, καὶ τῷ μὲν αὐτοῖν τέσσαρα, θατέ-*

1 *ποτὲ* M: *ὁτὲ* A || 2 *αὐτῷ* (*αυτῶ* M) MA: *ἑαυτῷ* edd. || 3 *καὶ πρῶτον* A: *πρῶτον* M, edd. || 7 *ἐπιλαμβάνουσι* A: *-σαι* M, Band. Schn., *-βανούσας* Buss. || *δὲ* A, edd.: *τε* M || 10 pr. *τὸ* M: om. A || *τοῦ ἰοῦ* A cf. p. 19, 29 sqq. et 26, 20: *ὑπὸ* M || 11 *ἀπονεύσεις* A: *ἀπονεύσειες* (scil. *-σιες*, ionice?) M || 16 *οὗτος* A: *οὕτως* M, edd., sed cf. Sur les Thér. p. 91 || 17 *δὴ* A: *δεῖ* M || 18 *πιεζεῖται* scripsi (cf. p. 26, 23): *πιεζηται* M *πιέζεται* A, edd. || 20 *περιχεῖται* A: *περιέχειται* M || 22 *κυάνεος* A: *κυανοῦς* M, Gual. *κυανὸς* edd. cett. || 24 denuo inc. V || 27 *αὖ τῶν* Buss., defendi (Sur les Thér. p. 91): *αὐτῶν* edd. cett., *αὖ* om. A.

ρῳ δὲ ἀνέχει κέρατα τῆς κεφαλῆς δύο. Εἰσὶ δὲ τὴν χροιὰν οἷδε καθάπερ ἡ τέφρα· τῶν ὁδῶν δέ εἰσιν αἱ τούτων ἐγγὺς διατριβαί· ναὶ μὴν καὶ παρὰ τὴν ψάμμον ἡδέως ἔρχονται. Διαλλάττει τοίνυν κατὰ πολὺ ὁ κεράστης τοῦ ἔχεως τῇ πορείᾳ ταύτῃ, ὅτι ταχεῖαν μὲν μᾶλλον καὶ κατ᾽ εὐθὺ ὁ ἔχις ποιεῖται τὴν ὁδόν, ὁ δὲ οὐ μόνον σκολιὰν καὶ ταῖς ἀποκλίσεσι κεχρημένος πλείοσιν βράδιον ἔρχεται ἐφ᾽ ὅπερ ἂν σπεύδῃ, ἀλλ᾽ οἷον ὁλκάς, ἐπιπεσόντος αὐτῇ ἐναντίου καὶ δυσχεροῦς καθάπαξ πνεύματος, ἐπὶ τὸν ἕτερον τῶν τοίχων πλεῖν ἀνάγκην ἔχει, καὶ ἡ τούτου τις πορεία τοιαύτη φαίνεται. Τὸ δὲ δῆγμα τοῦ θηρίου τοῦδε πελιδνὸν ποιεῖ τὸν τόπον, καὶ ἐπ᾽ αὐτῷ ὄγκος ἐγείρεται· φλύκταιναι δὲ καὶ μᾶλλον ταῖς ἀπὸ τῶν ὄμβρων παρεοικυῖαι πομφόλυξιν ἐπιγιγνόμεναι τῷ πλήγματι, τὰς ὀδύνας ἀμβλυτέρας παρασκευάζουσι γίγνε- f. 402v *σθαι | ἧπερ τὸ δῆγμα τοῦ ἔχεως παρέχειν τοῖς ἐξ αὐτῶν πληγεῖσιν ὀδύνην πέφυκεν. Οὐ παραχρῆμα δὲ τοῦ κεράστου τὸ πλῆγμα ἀναιρεῖ, ἀλλὰ καὶ εἰς ἐνάτην ἡμέραν τὸν τρωθέντα ἄγει. Βουβῶνες δὲ καὶ ὀσφῦς τοὺς τοιούτους ἐπιτρίβουσι καὶ λίαν κάμνουσι, δυσθυμίαι τε ἐνοχλοῦσι, καὶ τὰ ἀπὸ ταύτης τὸν πάσχοντα συνέχει δυσχερῆ. Μόλις τε καὶ δυσχερῶς τὴν ψυχὴν ἀπαλλαττομένην τοῦ σώματός ἐστι θεάσασθαι καὶ θρήνων οὐ μακράν.*

282-319 *Τὸ μὲν δὴ ὄνομα ὁ αἱμόρρους ἀπὸ τοῦ εἴδους τοῦ καθ᾽ αὑτὸν τὴν προσηγορίαν ἐδέξατο, αὖθις δὲ ἡ κλῆσις παρὰ τοῖς ἐξ αὐτοῦ γιγνομένοις τῶν ἔργων ἔλεγχος γίγνεται. Τὴν μὲν οὖν δίαιταν ποιεῖται καὶ τὰς καταδύσεις ὁ αἱμόρρους οὗτος ἐν δαπέδοις τε καὶ τραχέσιν ἱκανῶς χωρίοις θαμνώδεσί τε οὐχὶ κάκιστα καὶ ὀρείοις τόποις. Ὅμως ἐν τούτοις καταδυόμενος μετὰ κόρον ἀναπαύλης τε ὡς τὰ πολλὰ καὶ ὕπνου λαγχάνει. Ἔστι δὲ αὐτῷ τὸ μὲν μῆκος οὐδὲν μᾶλλον ποδός, πάχος δὲ ἄρχεται μὲν αὐτῷ εἶναι* f. 403r *καὶ ἔστι τῆς κε|φαλῆς ἄπο τοιοῦτος πλησίον, ἀπολεπτύ-*

9 *ἀνάγκην* Buss.: *ἀνάγκης* codd. || 17 *πλῆγμα* V: *δῆγμα* A || 19 *ταύτης* scil. *νόσου* || 28 *οὐχὶ κάκιστα* M: *ουχικακιστα* (sic) V *οὐχ ἥκιστα* A, edd., sed cf. Sur les Thér. p. 91 || 32 *ἔστι τῆς κεφαλῆς ... ἀπολεπτύνεται* VM: *ἀπὸ τῆς κεφ[αλῆς καὶ] τοῦ αὐχένος μεστός, ἀπολεπτύνεται* A

νεται δὲ εἰς τὴν οὐρὰν καὶ ἔστιν μύουρος. Ἔστι δὲ αὐτοῦ τὸ μὲν χρῶμα οὐκ ἀεὶ μὲν μέλας· ἔστιν γὰρ ὅτε καὶ φλογώδης γίγνεται, μεστὸς δὲ ἐπὶ τὸν αὐχένα, τῶν κάτω μερῶν εἰς λεπτότητα ἱκανῶς ἀποτελευτῶν. Κέρατα δὲ φορεῖ δύο κατὰ τοῦ μετώπου, λεπτὰ μέντοι ταῦτα καὶ ἀφανῆ, καὶ τὰ τῶν ἀκρίδων μιμούμενα. Ὁ αὐτὸς δὲ καὶ σχεδὸν κατὰ τοὺς ὀφθαλμοὺς τῇ ἀκρίδι ἐστίν. Ὁρᾶ δ' οὖν φοβερόν, καὶ πῦρ ἐκλάμπουσιν οἱ ὀφθαλμοί· ἄλλως τε καὶ ἡ κεφαλὴ φρικῶδές τί ἐστιν· ὑποκινούμενον γὰρ τὸ κάτω δείκνυσι γένειον καὶ σκιὰν παρέχον ἔν τε τοῖς ἑλιγμοῖς καὶ καμπαῖς, ὁπόταν οἴχεσθαι ἀπιόν που δεήσειεν αὐτό. Τὴν μέντοι κίνησιν ὁ αἱμόρρους ἐστὶν καθ' ἑαυτὸν βραδὺς καὶ παραπλήσιος τῷ κεράστῃ. Διέξεισί γε μὴν ἀψοφητί, καὶ οἷον ἐπινεμόμενος τοῖς καλάμων φύλλοις βραχύτατον ψόφον ἀποτελεῖ. Ἀλλὰ γὰρ καὶ τὸν τρωθέντα ὑπ' αὐτοῦ συμβαίνει ἐκ παντὸς τοιούτοις ἄρα συσχεθῆναι κακοῖς, καὶ οἵοις ἄν τις περιπεσὼν ποτε οὐκ ἂν διαφύγοι. Πρῶτον μὲν γὰρ οἰδαίνεται, μετὰ δὲ οὐ πολὺ τὴν χροιὰν κυανῆν δείκνυσιν, ὀδυνᾶται περὶ τὴν καρδίαν, ὠγκωμένην ἔχει τὴν γαστέρα, αὖθις ἐκκρινομένην αὐτὴν καὶ διαχωροῦσαν, νυκτὸς δὲ ἐπιγενομένης ἔξεισι μὲν αἷμα διὰ ῥινῶν, ἔξεισι δ' ὁμοίως αὐτοῦ καὶ διὰ τῶν ὤτων, φέρεται δὲ καὶ διὰ τοῦ στόματος ὁμοίως αἷμα μεμιγμένον χολῇ· ἀλλά τοι καὶ μετὰ τῶν οὔρων ἀτάκτως καταφερόμενον αἷμα ῥυΐσκεται, καὶ τὸ δέρμα ῥήξεις ὑπομένει, ἔξω χω-
f. 403v ρεῖν ἐπειγομένου καὶ δι' αὐτῶν τούτων | τοῦ αἵματος |
f. 404r Γ]ένοιτο μ[ὲν δὴ μηδαμῶς πώποτε μηδεὶς] τῆς θήλε[ος αἱμορροΐδος ὑπὸ τῷ δήγματι, μ]ηδὲ ὑπο[πεσεῖν ὅλως τινὰ τῇ ταύτης ὑπάρξε]ιεν ἀμηχά[νῳ πληγῇ. Οὐ γὰρ ἂν μὴ ἀθρόως] μὲν τοῦ το[ῦτο παθόντος οἱ ὀδόντες ἀνα]πεμφθεῖε[ν πρότερον θραυσθέντες ἀθρό]ως ὑπὸ το[ῦ αἵματος, ῥυήσεται δὲ καὶ

1 αὐτοῦ Buss.: αὐτοῦ edd. cett., cf. Sur les Thér. p. 91 ‖ 3 μεστὸς susp. Gual.: μέσος Schn. Buss., sed cf. Sur les Thér. p. 91 ‖ 4 ἀποτελευτῶν VM (defendi, Sur les Thér. p. 91): ἀποτελευτώντων A, rec. Gual. ‖ 5 τοῦ μετώπου codd.: τὸ μέτωπον mavult Buss. ‖ 6 καὶ σχεδὸν VM: σχεδὸν καὶ A ‖ 11 ἀπιόν ... αὐτό VM: ἀπιόντι ... αὐτῷ A fort. recte ‖ 20 ἔξεισι A: εξις VM.

δι' αὐτῶν] πάνυ πολὺ [τῶν ὀνύχων αἷμα. Εἰ τοίνυν ἀλη]θὴς ὁ λόγο[ς ὁ λέγων περὶ τῆς Ἑλένης οὐκ ἔχ]ω εἰπεῖν, [ὅτι, ἡνίκα ἡ Ἑλένη, φησίν, ἀπηλλ]άττετο ἐ[κ τῆς Τροίας, ἐξώσταις χρησαμέ]νης ἀνέμ[οις τῆς νεώς, εἶτα καταράσης εἰς] Αἴγυπτο[ν (Θῶνις δὲ ἦν τῆς χώρας ταύτης] ὁ τότε βα[σιλεύς), τὸν κυβερνήτην Κάνωβον] ἐξελθόν[τα τῆς νεὼς ῥᾳστώνης ἕνεκα δή] τινος κα[ὶ ψυχαγωγίας, ἀγνοήσαντα ἐπιπεσεῖν] τότε δὴ θη[ρίῳ τοιούτῳ. Τὸ δὲ θηρίον ἐκεῖνο, ἐπειδὴ παρὰ
f. 404v τοῦ Κανώβου] | προσθλιβὲν ᾔσ[θετο, προσαψάμενον τοῖ]ς ὀδοῦσιν αὐτοῦ [τῷ σώματι τὸν ἰὸν ἐγχέει. Ὁ] μὲν οὖν Κάνω[βος αὐτόθι καὶ παραχρῆμα ἀπ]όλλυται ὑπὸ τοῦ [θηρίου, αἱμόρρους δὲ ἡ θήλ]εια τῇ Ἑλένῃ δί[κην οὐ μεμπτὴν ὑπίσχει] θραύεται τοιγαρ[οῦν ὑπ' αὐτῆς πληγεῖσα τῆς] ἀκάνθης μέσον [εἶτα, τῶν συνεχόντων δεσμ]ῶν διαρραγέντων [τῆς ῥάχεως καὶ διαιρεθείσης] οἷον μέσης καὶ [διακλασθείσης, τὸ ἀπ' ἐκείνου] μετὰ ταῦτα [δέδωκεν ἡ φύσις τοῖς ἑρπετο]ῖς τούτοις [τοῦ πάθους τὴν μνήμην διασῴ]ζειν. Οὐκ ἂν [οὖν μὴ ἴδοις τήν τε αἱμόρρουν] καὶ κεράστην [χωλεύοντάς τε τὸ καθ' αὐτοὺς] καὶ τοῦ κι[νεῖσθαι δίκαια ἀπεστερημένο]υς. |
f. 405r 320-333. Παρέοικεν δὲ ὁ σηπεδὼν ἄλλο μὲν οὐδὲν τῷ αἱμόρρῳ, τὸ δὲ εἶδος μόνον· τὰ μέντοι ἄλλα οὐχ ὁ αὐτός ἐστιν. Ἔοικεν γὰρ οὗτος ἐν μὲν ταῖς πορείαις προσπταίοντι, κατὰ παντὸς δὲ παρέχεται τοῦ σώματος τρίχας· ναὶ μὴν ἀλλὰ καὶ τάπητος εὐανθοῦς ὅδε που δείκνυσι τὴν χροιάν, καὶ τοῦ μετρίου μείζονα μὲν τὴν κεφαλὴν φορεῖ, ἀποδέουσαν δὲ τοῦ λοιποῦ σώματος, καὶ σκολιὰν ἄλλως ἐφέλκεται οὐράν. Ὁ μέντοι δηχθεὶς ὑπ' αὐτοῦ πρὸς τῷ λίαν αὐτὸν ὀδυνᾶσθαι οὐδὲ τὸν θάνατον διαφεύγει, νέμεται δὲ ὁ ἰὸς τούτου καὶ κομιδῇ χωρεῖ <καὶ> κατὰ παντὸς τοῦ πληγέντος ὑπ' αὐτοῦ σώματος περιρρύεται. Ἰσχναίνεται δὲ αὐανθεῖσα καθάπερ ἐκ πυρὸς ἡ κεφαλὴ τῶν ἐν αὐτῇ τριχῶν,

13 sq. τῆς ἀκάνθης V: τὴν ἄκανθαν A ‖ 19 καθ' αὐτοὺς M: κατ' αὐτοὺς A ‖ 30 καὶ add. Buss. ‖ 31 περιρρύεται (hapax) V: om. A; an περιρρεῖται scribendum? ‖ 32 ῥυεισῶν post τριχῶν add. A, rec. Gual.

ὥστε μηδὲν ἀπεοικέναι δοκεῖν μαρανθεῖσι τῷ γήρᾳ ἀκανθῶν ἄνθεσιν ἀλλὰ μὴν καὶ τὰς τῶν ὀφρύων αὐτῶν τρίχας καὶ τὰς τῶν βλεφάρων ἁλισκομένας τῷ κακῷ καὶ μαραινομένας ἐν ταὐτῷ ἔσται σοι θεᾶσθαι, μέλη δὲ ἐκεῖνα τοῦ δηχθέντος τριχῶν ἔρημα γιγνόμενα λέπραν καὶ ἔφηλιν καὶ ἀλφοὺς ταῦθ' ἕξει ἐπακολουθοῦντα. |

f. 405v 334-358 Τῇ ἐχίδνῃ κατὰ πολλὰ ἔοικεν ἡ διψάς, τὸ μὲν μῆκος ἔχουσα ἐκείνης ἔλασσον, ἐνεργοτέρα δὲ ἀποκτεῖναι ὡς ὅτι μάλιστα ὑφ' ἑαυτῆς τὸν πληγέντα θᾶττον. Ἔχει δὲ τὴν μὲν οὐρὰν μελαινομένην ἀκριβῶς ἤδε κατ' αὐτὴν τὴν ἄκραν, τὸ δὲ δῆγμα αὐτῆς δεινῶς αἴθει τὴν καρδίαν, καὶ ἐντεῦθεν ἄρχεται τὸ κακόν, καὶ μεταδίδωσι τῷ παντὶ δηλαδὴ σώματι. Γίγνεται δὲ ἀμήχανος περί τε τὸ στόμα καὶ τὰ χείλη αὐχμὸς τοῦ τρωθέντος λίαν, ἰάσασθαί τε τὸν πόνον τὸν ἀπὸ τοῦ δίψους ἐπιτιθέμενον αὐτῷ οὐχ οἷός τέ ἐστιν τοῦ λοιποῦ, οὐδὲ μὴν τὴν ταλαιπωρίαν. Ἀπαγορεύων γοῦν τοῖς παροῦσι, καὶ οὐκ ἔχων ὅτῳ καὶ χρήσηται, ἐλθὼν ἐπὶ πηγήν τινα ἢ αὖ τοῦ φρέατος πλησίον ταῦρος ὥς τις διψῶν καὶ οὗτος ἔρχεται ἐπὶ τὸν ποταμόν, εἶτα ἀπλήστως ἔχων τοῦ ὕδατος, τούτου ἐμφορεῖται πολλοῦ, καὶ οὐκ ἀνίησιν εἰς τοσοῦτον, ἐς ὅσον οὐ τῆς γαστρὸς ῥαγείσης ἔξω τὰ ἐν αὐτῇ πάντα μετὰ τοῦ ὕδατος ἐνεχθείη. Φέρεταί γε μὴν κατ' αὐτά που τοιόσδε τις λόγος, ὅτι, ὁπηνίκα, φησίν, διενείματο ὁ Ζεὺς τὴν ἀρχὴν μετὰ τῶν ἀδελφῶν, καὶ εἶχεν ἕκαστος τὴν ἑαυτοῦ, Διὶ δὲ ἔμελεν τοῦ οὐρανοῦ καὶ ἐβασίλευεν, δόξαν δὲ οὕτω, τοὺς ἀνθρώπους αὖ τῷ τῆς νεότητος ἐσέμνυνεν περιφανῶς δώρῳ, ὅτι αὐτῷ κατεμήνυσαν τὴν κλοπὴν τοῦ πυρός. Ἀλλ' οἱ μὲν τὴν νεότητα ἐκ Διὸς λαβόντες ἵνα αὐτῇ χρῷντο, ἀβουλίας τε καὶ ἀφροσύνης ἔργον ἐργάσαν-

5 ἔφηλιν MA: εφιλεν V ‖ ταῦθ' MA: ταυτ V ‖ 17 χρήσηται VM: χρήσαιτο A ‖ 18 αὖ τοῦ dub Buss. (Adn. p 419): αὐτοῦ MA αὐτοῦ τοῦ Buss in textu, rec. Gual ‖ 19 καὶ οὗτος VM: οὕτως (om. καὶ) A ‖ 21 ἐς ὅσον οὐ codd., Buss.: ἐς ὅσον οὖν Schn ἐς ὅσον οὗ (scil. ἕως οὗ) Gual., sed cf. Sur les Thér p. 91 sq ‖ 24 διενείματο ὁ Ζεὺς edd.: διενειοζευσματο V ὁ Ζεὺς διενείματο A ‖ 26 αὖ τῷ scripsi: αυτω V αὐτῷ M, rec. edd τῷ (om. αὖ) A

το· οὐ γὰρ δὴ μὴ μεθέντες ἀπώναντο αὐτῆς. Ἐπισάξαντες δὲ

f. 406r ὄνον, ἐπέθεσαν αὐτήν, μετὰ δὲ οὗτος μὲν ἀπῇε τὴν ὁδὸν ὁ ὄ|νος, καταλαμβανόμενος δὲ ὑπὸ δίψης πικρῶς καὶ πνευστιῶν λίαν ἔρχεται ἐπὶ τὸν φωλεόν, ὡς ὁ λόγος, τότε τοῦ θηρίου τούτου ἐκ Νυμφῶν δὲ ἦν ἐπιτραπὲν τοῦτο κρήνης εἶναι φύλαξ· ἐδεῖτο οὖν ἐλθὼν εὐθέως τοῦ θηρίου τούτου ἄκεσιν παρ' αὐτοῦ δέξασθαι τῶν λυπούντων αὐτὸν καὶ ἀπαλλαγῆναι· ὑπισχνεῖται παρέξειν ταῦτα τὸ θηρίον, ἣν καὶ <ὁ> ὄνος ἀφ' ᾧπερ ἔχων ἔρχεται φορτίων παρασχεῖν βουληθῇ, καὶ διὰ τοῦτο ἐξ ἐκείνου τὰ μὲν θηρία ἀποτιθέμενα τὸ γῆρας αὖθις ἐπανέρχεται εἰς τὴν νεότητα, τὸ δὲ τῶν ἀνθρώπων ἐπίκηρον γένος ἀνέχεται περιμένον τὰ τοῦ γήρως κακά, οὐδὲ ἀποξύσασθαι δύναται. Ἐντεῦθεν μὲν οὖν τὸ διψῆν τούτῳ προσετέθη, καὶ καλεῖται διψὰς τὸ θηρίον, θάνατον δὲ ὀξύτερον ἐπάγει οἷς ἂν ὑπάρξειεν πληγῆναι παρ' αὐτοῦ, ὅτι καὶ φλέγεσθαι ὑπὸ δίψης τοὺς τρωθέντας ποιεῖ. |

f. 406v 359-371 Οὐδὲν ὁ χέρσυδρος ἀπεοικέναι δοκεῖ τὸ εἶδος ἀσπίδος, οὐδὲ οὐκ ἀναπίμπλησι τὸ σῶμα δυσχερείας τινός, ἣν προσψαύσῃ μόνον τοῖς ὀδοῦσι. Πρῶτον μὲν γὰρ βαρυτάτη τις ὀδμὴ καὶ δυσώδης λίαν αὐτοῦ διὰ παντὸς χωρεῖ, ἔπειτα διὰ τοῦ βάθους ἰόντος τοῦ δεινοῦ καὶ ὡς ὅτι μάλιστα τρέποντος, ἴσχουσί τε ἀλγηδόνες τὸν πληγέντα ἄπαυστοι, καὶ ὅλος ὀγκοῦται, συχναί τε ἐπὶ τούτοις ζέσεις καὶ φλύκταιναι ἐπὶ παντὶ φλύονται. Γίγνεται δὲ τῷ χερσύδρῳ τούτῳ δίαιτα πρῶτα μὲν ἐν λίμνῃ, ποιουμένῳ τοὺς ἐν ταύτῃ σί<τον> βατράχους, μετὰ δὲ ταῦτα ξηρανθείσης ὡς ἐν θέρει τῆς λίμνης ὑπὸ τοῦ ἡλίου καὶ σφόδρα φρυγείσης, ἔρχεται ἐπὶ τὴν ἐν χέρσῳ μονὴν αὐτίκα, καὶ ποιεῖ<ται> δίαιταν, αὐαινόμενος μὲν λίαν ὑπὸ τοῦ ἡλίου, διψῶν δὲ καὶ δυσφορούμενος εἴσω τὴν γλῶτταν τῶν γνάθων ἔχειν οὐχ οἷός τέ ἐστιν, ὑποδείκνυσι δὲ ὡς φοβερόν, τοτὲ μὲν προβεβλημένην ἔχων αὐτήν, τοτὲ δὲ οὐκ ἔχων, καὶ πάλιν ὑποκι-

2 ἀπῇε V: ἀπήει A ‖ 8 ὁ add A ‖ 18 ἀσπίδος VM: ἀσπίδι A ‖ 25 sq. ἐν ταύτῃ σῖτον Schn.: ἐνταυτησι VM θοίνην τοὺς ἐν ταύτῃ βατράχους A ‖ 28 ποιεῖται Gual (cl p 24, 4): ποιεῖ codd.

νουμένην καὶ ἄλλοτε ὑπερκύπτουσαν τοῦ δέοντος πλέον. Ἔλαχεν δὲ ἄρα αὐτῷ καλεῖσθαι χερσύδρῳ, ὅτι καταλιπὼν ἐκείνας τὰς ἐν τῷ ὕδατι διατριβὰς ἀντηλλάξατο καὶ ἔχει τὸ τῆς γῆς χωρίον, ἕνεκα δὲ τῆς χροιᾶς φαυλότατός ἐστι πρὸς τοῖς ἄλλοις. |

f. 407ʳ 372-383 *Καὶ τὸ μέγεθος ἐλάσ[σον<α> καὶ τὴν κίνησιν] βραδυτέραν τὴν ἀμ[φίσβαιναν τοῦ χερσύδρου] ὡς ἔστι μάνθανε, [καλεῖται δέ γε ἀμφίσβαινα,] καὶ ταύτην ὀνομάζ[ειν ἀπὸ τοῦ πράγματος] μὴ παραιτοῦ, ὅτι κ[ατ' ἀμφοτέρας ἕρπουσαν αὐ]τήν ἐστι τὰς κεφ[αλὰς ὁρᾶν. Διέστηκε δὲ ἡ ἑτέρ]α τῆς ἑτέρας κεφ[αλὴ τοσοῦτον, ὅσονπερ τὸ] μῆκος τοῦ θηρίο[υ. Ὀξὺ δὲ ὁρᾷ οὐδετέρα αὐτῶν,] ἀλλ' ἀμαυρὸν καὶ ἀσθ[ενὲς τοῖς ὀφθαλμοῖς βλέ]πει, ἔχει δὲ ἰσχυρὸ[ν μὲν δέρμα, γῇ δὲ παρέοικεν,] καὶ ἔστι πᾶν ἄλλως [κατάστικτος. Τοῦτο δ' οὖν] τὸ δέρμα κατὰ τὴν [ὥραν τοῦ ἔαρος, ὁπηνίκα] τὸ θηρίον τοῦτο [προκύπτειν ἄρχεται τοῦ] φωλεοῦ καὶ ἔστιν [ὑποτεθραμμένον πρὶν ἢ] τὸ κοκκύγων γέν[ος λαλεῖν ἐπιτραπὲν ἄρξ]ηται μετὰ τὸν χε[ιμῶνα, ἣν βουληθῇς τοῦ]το ἀποδείρ[ας ἔχειν, κοτίνου κλάδους λάμβ]ανε, εἶτα ἐπάγω[ν τῷ θηρίῳ τούτῳ πληγὰς] οὕτως ἀπόδερε· [οὐ γὰρ μὴ ἔσται ποτὲ ὁ δια]φυλάττων αὐτὸ [ἐνδεής, οὐδ' ἀποτυγχάνων] βοηθείας, ὁπότα[ν ὑπὸ χειμῶνος τὰς χεῖ]ρας κακῶς ἢ τὰ ν[εῦρα ἔχων τις ἐκ τοιαύτης] νόσου διατεθῇ.* |

f. 407ᵛ 384-395 *[Ἔστι δὲ ἡ αὐτὴ καὶ παραπ]λησία τὴν ἰδέαν [ἡ σκυτάλη τῇ ἀμφισβαίνῃ,] ἀλλ' οὖν τῷ τε ὄγ[κῳ διαλλάττει καὶ μήκει τ]οσοῦτον ἐκείνης, [ὁπόσον δικέλλης στελει]ᾶς πάχος πλέον ἢ σ[μινύης ἔχει, ἢ καὶ τῶν ἐν το]ῖς διύγροις τρε[φομένων χωρίοις κατὰ γῆς] εὐλέων ἔντερα [γῆς, οἶμαι, αὐτὰ οἱ πολλοὶ καλοῦσιν. Αὐτὴ τοίνυν αὕτη ἡ σκυτάλη,] ἐξελ-*

6 *ἐλάσσονα* Buss.: *ἔλασσον* MA || 14 *πᾶν … κατάστικτος* M (defendi, Sur les Thér. p. 92): *ἐς τὸ πᾶν … κατάστικτος* Gual. *τὸ σῶμα* post *ἔστι* add. A *πᾶν … κατάστικτον* edd. cett. || 15 *κατὰ* VA: *κα* M || 17 *κοκκύγων* V, rec. Gual.: *τεττίγων* edd. cett. || 22 *χειμῶνος* A: *χειμῶνος εν* M || 24 pr. *ἢ* M: *εἰ καὶ ἡ* A || 26 *στελειᾶς* M: *τελείας* A || 29 *Αὐτὴ τοίνυν αὕτη* scripsi (cf. p. 33, 15 sq.; 37, 11): *Αὕτη τοίνυν αὐτὴ* Gual.

θόντος μὲ[ν ἤδη καὶ διαδραμόντος το]ῦ χειμῶνος, ἐπιλάμ[ψαντος δὲ τοῦ ἔαρος, τῆς ἐπ]ὶ τὸ μάραθον ῥα[θυμεῖ πορείας οὐδ' ἀφικνεῖ]ται πλησίον ἐπίτη[δες αὐτοῦ, ἵν' ὥσπερ καὶ] αὐτὴ τὰ λοιπὰ θηρία [τοῖς ἀκρεμόσι τὸ γῆρας ἐπ]αποδύσηται, ἀλλ' ἐ[πιχωρεῖ τοῖς ἀγρίοις καὶ δ]υσβάτοις τόποις [ὕπνον αἱρουμένη καὶ τῇ] τυχούσῃ γῇ χρω[μένη διατροφῆς χάριν,] ἕνεκα δὲ τοῦ πιεῖν, [οὐδ' ἂν πάνυ δίψῃ συνέχητ]αι, ἐφ' ὕδωρ ἔρχεται. |

f. 408ʳ 396-410 *Οὐ μὴν ἀλλὰ καὶ αὐτοῦ σοι τοῦ βασιλέως τῶν ἑρπετῶν πέρι ἐθέλω διελθεῖν, καὶ ὡς τὸ μὲν ἰδεῖν αὐτὸν βραχύτατός ἐστιν, ὑπεραίρει δὲ τῇ δυνάμει τῶν ἄλλων οὗτος καὶ ἰσχύει πλέον. Ξανθὸς μὲν οὖν ἐστι τὴν ἰδέαν, τὴν μέντοι κεφαλὴν ὀξυτέραν φορεῖ, μῆκος δὲ περίπου παρέχεται παλαιστῶν ἐννέα. Τὴν σπεῖραν οὐκ ἔστι συνηγμένος, ἀλλὰ ἐφήπλωται διὰ παντός. Φοβερὸς δὲ δοκεῖ τοῖς ἄλλοις εἶναί πως καὶ ἔστιν ἑρπετοῖς· οὐκ ἂν ὑπομείνειεν αὐτοῦ τῆς φωνῆς τὸν ἦχον ἐπὶ νομὴν ἢ ποτὸν ἄλλως παραγιγνομένου ἢ αὖθις ἐπανερχομένου εἰς κοίτην περὶ μεσημβρίαν, ἀλλ' ἐπὶ φυγὴν τὰ θηρία, ἢν μόνον ἀκούσῃ τῆς φωνῆς ἐκείνου, πάραυτα τρέπεται. Τρώσας δὲ ἥν τινα καὶ τύχῃ ὅδε, <ὃν> ὀνομάζουσι βασιλίσκον, ἀπορρεῖν μὲν τὰς σάρκας, διαλύεσθαι δὲ καὶ τὰ μέλη τοῦ τρωθέντος ποιεῖ. Οὔκουν οὐδὲ παρ' ὀρνίθων ἴδοις ἂν τουτονὶ τὸν νεκρὸν κατεσθιόμενον, οὐδὲ ὑπὸ κυνῶν ἐσαῦθις, οὐδὲ ὑπ' ἄλλων ἑλκόμενον ἀγρίων καὶ σπαραττόμενον θηρίων, ἐπεὶ πονηρὸν τὸ σῶμα καὶ δυσχερὲς λίαν ἀποπνεῖ· αὐτὸ δὴ τοῦτο τοῖς πλησιάζουσι προσετέθη. Ἢν δὲ καταληφθεὶς ὑπ' ἀνάγκης τινὸς οἰωνὸς οἷον μὴν ἢ κύων τῷ νεκρῷ τούτῳ προσελθὼν τῆς ἀπ' αὐτοῦ τύχῃ καὶ μετάσχῃ βορᾶς, αὐτοῦ που κείσεται παραχρῆμα καὶ παρὰ τὸν νεκρὸν ἐλθὼν ὁ τοιοῦτος νεκρός* |

2 *ἔαρος* A: *ἀέρος* M || 3 *ἵν'* A: *ην* M || 4 *ἐπαποδύσηται* MA: *ἐξαπ-* Gual. verbum aliunde ignotum || 15 *φοβερως* V || 17 *ποτὸν* A, edd.: *πότον* M || 19 *πάραυτα* scripsi: *παραυτὰ* A *παρ' αὐτὰ* Gual. || 20 *ὅδε, ὃν ὀνομάζουσι βασιλίσκον* A, edd.: *ὅδε ὀνομάζουσι βασιλίσκον* M *οδεονομαζεται βασιλισκον* V || 23 *ἐσαῦθις* scripsi: *ἐς αὖθις* MA *εἰσαῦθις* edd. *οσαυθις* V

f. 408v 411-437. *Τὸν μέντοι δρυΐναν ἐπίστω σαφῶς, οὕτως ἔτι μὴν καὶ τὴν τούτου φύσιν· χέρσυδρον μὲν γὰρ αὐτὸν οἱ πολλοὶ καλοῦσιν, ὅτι ἀπολιπὼν τοὺς ὑδρηλοὺς καὶ λιμνώδεις τόπους, παρ' οἷς ἐποιεῖτο τὴν δίαιταν, ἐπὶ τοὺς ξηροὺς ἔρχεται καὶ αὐχμώδεις λίαν· μετὰ δὲ ἕτεροι δρυΐναν τὸν αὐτὸν λέγουσι, διότι καὶ ταύτης ὑπεριδών, ἧσπερ ἐτύγχανεν, ἑλόμενος ἐν ταῖς ἐσχατιαῖς καὶ τοῖς ἄλλως τόποις τραχυτέροις οὗτος δίαιταν καὶ μονήν, διωκόμενος ὑπὸ οἴστρου καὶ κεντούμενος ἐπί τε τὰς δρῦς καταφεύγων ἔρχεται καὶ ἐπὶ τὰς φηγούς, καὶ χρῆται τούτοις πρὸς οἴκησιν, ὃν τρόπον χρῆται καὶ ταῖς θάμνοις πρὸς τὸ ἐγκαθεύδειν. Ὕδρῳ δὲ ἐοικὼς τὸ καθαρὸν καὶ ἐπὶ τοῦ νώτου τὸ μέλας εἶναι ὥσπερ ἐκεῖνος διασῴζων, τραχυτέραν ἔχει τὴν κεφαλήν, ὀδμὴν δὲ βαρεῖαν ἱκανῶς καὶ ἀνυπόστατον τὸ πᾶν αὐτοῦ σῶμα παρέχεται, καὶ οἷον ἡ ἵππου δορὰ ἐξόζει χαλεπὸν σαπεῖσα καὶ δυσανάσχετον, ὁπόταν ταῖς τῶν σκυτοδεψῶν παραδοθῇ χερσίν, σῆψιν ὑπομείνασα πολλήν, καὶ διαμυδήσῃ, τοιοῦτον οἱ πληγέντες ὑπὸ τοῦ δρυΐνα ἢ κατ' αὐτῆς οἷον τῆς ἀγκύλης ἢ τοῦ ποδὸς κάτω, χαλεπὴν οἷον καὶ μοχθηρὰν διὰ παντὸς ἄγουσι τοῦ σώματος πνοήν, καὶ περὶ μὲν τὸ τετρωμένον μέρος ὑπὸ τοῦ θηρίου ὄγκος ἀμήχανος ἐγείρεται, ἔρευθός γε μὴν οὐκέτι οὐδὲ αἱματῶδές τι ἐπανθεῖ τῇ χροιᾷ, ἀλλὰ μελαίνεται. Παραφροσύνη τοίνυν ἐπὶ τούτοις καὶ σφοδρὰ τῆς φωνῆς παράλυσις ἐπιλαμβάνει τὸν πάσχοντα· αἵ τε γὰρ ὀδύναι συνέχουσι, καὶ ἐπὶ ταύταις τὰ δυσχερῆ ἐν ὀφθαλμοῖς τυγχάνοντα τῆς κακοπαθείας αἴτια γίγνε-*
f. 409r *ται παντάπασι τῆς παραφροσύνης· ξηρότης τε οὖν | οὐκ ὀλίγη καὶ σῆψις τῶν σαρκῶν ταχεῖα καὶ ἐνακμάζουσα, νεμομένου κατὰ ταὐτὰ πανταχῇ τοῦ ἰοῦ, ἐξ ἀνάγκης ἐπιλαμβάνει, ὀλιγωρίαι τε ὡς πλεῖσται καὶ σκότος φέρεται κατ' ὀφθαλ-*

2 *χέρσυδρον* codd , at *χέλυδρον* Ther 411 || 5 *δρυΐναν* A: *δρυιαιαν* VM || 7 *τὴν* ante *ἐν ταῖς* add A || 8 *οὗτος* A, edd.: *ουτως* VM || 12 sq *ἐπὶ τοῦ νώτου τὸ* A: *επιτωνωτουτο* VM || 17 *διαμυδήσῃ* codd (cf. Sur les Thér p. 92): *διαμύδησιν* edd. post Schn. || 24 *σφοδρὰ* scripsi: *σφόδρα* A, Gual || 25 *ὀδύναι* V: *-ναις* A || 26 *αἴτια* A, edd : *αἰτία* M.

μῶν, χάσμη τε πρὸς τούτοις καὶ βαρύτης ἀλλήλοις ἐπισυμβαίνοντα τὴν τῶν οὔρων ἐποχὴν ἐργάζεται σφόδρα, ὕπνος τε ἅμα τῷ ῥέγχειν καὶ λυγμὸς καρτερὸς ἐπισυναφθέντα πρὸς τῷ ποτὲ μὲν χολώδεις, ποτὲ δὲ αἱματώδεις ἐμέτους γίγνεσθαι, δίψα τε ἀμήχανος καὶ τρόμος ἰσχυρὸς ἐπ' αὐτὸν ὕστερον ἐνελθόντα κομιδῇ πονηρὸν αὐτῷ κατασκευάζουσι τὸν θάνατον. |

f. 409v 438-457. *Ἔσει τοίνυν ἠγνοηκὼς οὐδὲ τὸν δράκοντα τὸ κατὰ σέ, οὐδέ σε λήσεται, ἢν προσίδῃς μόνον αὐτόν, ἀπὸ τοῦ σχήματος· τὸ μὲν οὖν μῆκος τῷ θηρίῳ εἰς πλῆθος ἐξῆρται, τὴν δὲ χροιὰν ἀνθοῦσαν δείκνυσι κυάνου· ἐν Ἀσκληπιοῦ τετράφθαι λέγεται τουτονὶ παρὰ τὸ Πήλιον. Πελεθρόνιον μέντοι τὸν τόπον τοῦτον οἱ ταύτῃ καλοῦσιν· καὶ δρύες περιεστᾶσι πλῆθος αὐτῶν πολύ, καὶ ἔστιν ὁ τόπος κατηρεφής, οὗπερ τὸν δράκοντα τῆς κομιδῆς τοῦτον ἠξιῶσθαι λόγος. Ἱλαρὸς δέ ἐστιν ἄλλως καὶ γαυριᾶν δοκεῖ· καὶ τρίστοιχοι μέν εἰσιν οἱ ὀδόντες αὐτῷ, ὀφθαλμοὶ δὲ ἱλαρὸν βλέπουσι καὶ ὁ πώγων ἐπανθεῖ τοῦ χρυσοῦ. Ὅντινα δ' ἂν κατεπελθὼν οὗτός ποτε γένηται τοῦ πλῆξαι, κἂν ὀργῆς ὢν τύχῃ ἀνάπλεως, λυμαίνεται οὐδέν, ἢ τοσοῦτον μόνον εἰς ὀδύνην ὑπ' αὐτοῦ τὸν πληγέντα ἄγει, εἰς ὅσηνπερ ἂν καὶ μῦς ἐκεῖνον ἐνδακὼν ἤνεγκεν, καὶ αἵματος φορὰν τοσαύτην, ὅσηπερ ἂν ἐκ τοῦ τραύματος τοῦ παρ' ἐκείνου συμβάντος ἐπακολουθήσῃ. Ἔστι γε μὴν ἐχθρὸς τῷ ἀετῷ, καὶ μισεῖται λίαν, ὅτι αὐτοῦ διαφθείρειν οὐκ ἀπέχεται τὰ ἔγγονα, ἀλλ' ἐπὶ τὴν καλιὰν ἐλθὼν ἐπιτίθεται μέν, ἢν τύχῃ, τοῖς ᾠοῖς, ἐπιτίθεται δὲ τοῖς νεοττοῖς, πλημμελείας εἶδος ἀφιεὶς οὐδὲ ἕν, εἶτα κατεσθίει. Πολλάκις δὲ καὶ αὐτῷ ἐκείνῳ τῷ ἀετῷ ἔχοντι θήραν λαγωοῦ ἢ βορὰν προβάτου τιθεμένῳ ποθέν, ἐξερπύσας ἔπεισιν ὁ δράκων. Ὁ δὲ ἐσθίειν μὲν ἐπελθόντος οὐκέτ' ἀνέχεται· τρέπονται δὲ ἐπ' ἀλλήλους οἵδε καὶ διαμέ-*

3 *καρτερὸς* VA: *-ρῶς* M || 3 sq *πρὸς τῷ* V: *πρὸς τὸ* A || 6 *ἐνελθόντα* V: *ἐπ-* A || 10 *ἐξῆρται* scripsi (cf. p. 36, 20 et 23): *ἐξῆπται* codd || 12 *τετράφθαι* V, edd. : *τεθράφθαι* A || 14 *αὐτῶν* scripsi: *αυτων* V *αὐτὸν* A, edd. || 23 *ὅσηπερ* Buss.: *ὅσηνπερ* codd. || *συμβάντος* A: *συμβαν οὕτως* VM, edd , sed cf. Sur les Thér p. 92 || 24 *ἐπακολουθήσῃ* VM: *-θῆσαι* A.

νουσι μαχόμενοι, προκειμένης ἀμφοτέροις τῆς θοίνης εἰς φιλονικίαν. Ἐπιλαμβάνεσθαι δὲ περιιπταμένου τοῦ ἀετοῦ, f. 410r ἀράμενος ὁ δράκων τὴν κε|φαλὴν ἄνω καὶ περιβλέπων πανταχοῦ, πρόθυμος γίγνεται, καὶ ὁρμᾷ δράττεσθαι.

458-482. Οἱ τὴν Λῆμνον ἐπιστάμενοι (νῆσος δέ ἐστιν ἡ Λῆμνος, ἀνακειμένη τῷ Ἡφαίστῳ) καὶ τὴν δυσχείμερον Σαμοθρᾴκην (ἀνέχουσι δὲ αὗται μὲν ἐκ τοῦ προκειμένου πελάγους τῆς Θρᾴκης κατ' αὐτὰ τῆς Αἴνου ἱερὰν εἶναι καὶ ταύτην τῆς Ἥρας λέγουσι· ποταμὸς μέντοι ταύτην διαρρεῖ τὴν Αἶνον, καὶ ἔστιν ὄνομα τῷ ποταμῷ Ἕβρος, ἔστι δὲ δὴ καὶ Ζωναῖον ὄρος καλούμενον, ἔνθα Ὀρφεὺς ἐκιθάριζεν καὶ εἶχεν ἄντρον ἡ Ἑκάτη) καὶ οἱ γιγνώσκοντες τὰ χωρία οὐχ ἥκιστα ἐπίστανται τοῦτο τὸ θηρίον, ὅ τι ποτέ ἐστιν ὁ κεγχρίνας· ἐν γὰρ [δὴ] το[ύ]τοις τὰς νομὰς τοῖς τόποις ποιεῖται. Προσετέθη δ' οὖν τῷ αὐτῷ ὄνομα ἑρπετῷ, καὶ καλεῖται λέων, ὅτι τῶν ἄλλων οὗτος ἔοικεν ἑρπετῶν διενηνοχέναι μὴ μόνον τάχει καὶ μεγέθει, ἀλλὰ καὶ αὐτῷ τῷ εἴδει f. 410v καὶ αὐτῇ <τῇ> | ἰσχύϊ· ἕπεται τοίνυν τῷ πληγέντι αὐτίκα δὴ καὶ παραχρῆμα τὸ σῶμα τρέπεσθαι, ἰόντος τε εἰς βάθος τοῦ ἰοῦ, καὶ τὸ πᾶν ἐπινεμομένου, ὕδερόν τε εὐθὺς ἐπιλαμβάνειν τὴν γαστέρα, βαρείας τε ἀλγηδόνας ἐξ αὐτῆς γίγνεσθαι, καὶ τὸν θάνατον ἥκειν καὶ διαλύεσθαι. Ναὶ μὴν ἀλλὰ καὶ καύματος ὄντος σφοδροῦ, ἱσταμένου θέρους, πιεζούμενος ὑπὸ λιμοῦ ἀνὰ τὰ ὄρη πορεύεται ζητῶν ἐξ αἰγῶν ἢ προβάτων αὐτῷ τινα πορίσασθαι τροφήν. Οἱ δὲ ἡγούμενοι τῶν προβάτων τυγχάνουσι ψυχάζοντες περὶ μεσημβρίαν· ὑπήνεμον γάρ τι χωρίον ἐξευρόντες οἷδε καὶ σκιὰν παρέχειν, ὁπόταν ᾖ καῦμα, δυνάμενον τὴν ἀπὸ τῶν φυτῶν, ὀλίγον ἀποστήσαντες τῆς νομῆς τὰ κτήνη ἐνταῦθ' ἀπαγαγόντες προσαναπαύουσιν. Ταῦτα μὲν οὖν περὶ Λῆμνον καὶ τὴν Σαμοθρᾴκην ὁ κεγχρίνας ἀπεργάζεται ἐπιὼν καὶ λυμαινόμενος τοῖς ἐκεῖ θρέμμασι.

8 κατ' αὐτὰ codd : καταντία Gual. || ἱερὰν εἶναι evan. in V || 11 Ζωναῖον VM: prob Ζώνιον A || 11 sq καὶ εἶχεν ἄντρον evan in V || 14 δὴ (evan. in A, η evan in V) τούτοις codd., rec Gual.: θερμοτάτοις Schn Buss ex Ther. 469 || 18 τῇ add Buss.: om MA (evan. in V)

Μηδεὶς δὲ οὕτως ἔστω θρασὺς μηδὲ μὴν ἄοκνος ἐκ λογισμοῦ, ὅστις ἐναντίος ἐλθών ποτε βουληθῆναι ἔχοι τῷ θηρίῳ τούτῳ χωρῆσαι πρὸς μάχην· ο[ὐ γὰρ ἂν] μὴ οὐ [πρῶ]τον μὲν ἐξ αὐτῆς τῆς θέας, ἔπειτα μέντοι καὶ τῆς ἄλλης αὐτοῦ μανίας τε ἅμα καὶ θρασύτητος τοῦ θηρίου καταληφθεὶς ἁλῷ, μετὰ ταῦτα δὲ περιπλακεὶς οἷον αὐτίκα ὑπ' αὐτοῦ που καὶ περιειληθεὶς μυζηθείς τε αἷμα καὶ χωρήσας ὅλος διὰ τοῦ στόματος καταποθῇ. Ἀλλ' οὐ χρὴ τὰ δεινὰ περιμένειν, ἀπαλλαττόμενον δὲ ἅμα ταχυτῆτι τοῦ κινδύνου τὴν μὲν κατ' ἰθὺ πορείαν ἐλαύνειν οὐδαμῶς συμφέρον, ἐκτρέπεσθαι δὲ αὐτὴν ὠφελιμώτατον ὡς τὰ πολλά, καὶ ποτὲ μὲν χρὴ βαδίζειν τὴν ἐπὶ δεξιάν, f. 411r ποτὲ δὲ τὴν ἐπὶ θάτερα ἀποκλίνειν μέρη διε|ξόδους τε καὶ ὑποστροφὰς ποιούμενος συνεχεῖς καὶ ἐπαναζεύξεις, παραιρούμενος εὑρεθήσει τοῦτον δὴ τῆς ὁρμῆς τὸν θῆρα. Ταχύτατος γὰρ ὢν τὸ κατ' εὐθὺ ἐν ταῖς τῶν κάμψεων περιστροφαῖς εὑρίσκεται βραδύς. Ὀδυνώμενος γοῦν τοὺς σφονδύλους καὶ αὐτὴν ἅπασαν τὴν ἄκανθαν ἐλαττοῖ τοῦ δρόμου. Τοιοῦτον ἄρα τὸν κεγχρίναν τοῦτον εἶναι αἱ πρὸς Θρᾴκην νῆσοι παρέχονται. |

f. 411v 483-492. Ἔστι μὲν ταπεινὸς τὴν πρόσοψιν ὁ ἀσκαλαβώτης, τὸ δὲ δῆγμα οὐκ ἔστι ταπεινόν. Διαγγέλλει δὲ ἡ φήμη περὶ αὐτοῦ ταῦτα, ὅτι ἡ Δημήτηρ ἀχθεσθεῖσα αὐτῷ δεινῶς ἐνεμέσησε καὶ ἀμυνομένη. Τριπτόλεμον γὰρ δὴ τὸν ἐκ Μετανείρας γενόμενον, ἧς <ἡ θεὸς> ἦν θεραπαινίς, τοῦ Καλλιχόρου πλησίον ἐλθών, ἐν τῇ Ἐλευσῖνι, παρ' αὐτὸ τὸ φρέαρ ὁ ἀσκαλα-

1 ἄοκνος ἐκ Schn.: αοκτος εκ VM ἐκτὸς A || 2 ἔχοι Buss : ἔχει codd || 3 οὐ γὰρ ἂν MA (evan in V): ὀρρωδῶν ci Schn, rec Buss. || 6 περιειληθεὶς edd : περιεληθεὶς codd. || 7 αἷμα Buss. cl. Ther. 476: ἅμα codd || ὅλος V: ὅλως M, om A || 9 ταχυτῆτι A: ταχύτητι edd || 11 δεξιὰν V: δεξιᾶ MA || 12 θάτερα MA: τεατερα V || 14 εὑρεθήσει edd : ευρεαθησει VM || εὑρεθήσει ... θῆρα: δεύτερον ποιήσεις ἐλθεῖν τοῦτον δὴ τῆς ἐλπίδος καὶ ὁρμῆς τὸν θῆρα A || 15 κατ' εὐθὺ A: κατευθυν VM || 16 σφονδύλους VM: σπονδ- A || 17 ἐλαττοῖ VM: ἐλαττοῦται A || 20 ἔστι A: εστη VM || 22 Δημήτηρ A: δημητερ VM || 23 ἐνεμέσησε καὶ ἀμυνομένη VM: ἐνεμέσησεν ὡς καὶ ἀμύνασθαι A || 24 ἧς ἡ θεὸς ἦν scripsi: ηοιην VM ἥτις ἦν A ἧ οἱ ἦν Gual. ἡ οἴνη Schn (ἡ Οἰνὴ Cur post. p 245)

βώτης, ὡς ὁ λόγος, τὸν Τριπτόλεμον, λέγει, ἐνταῦθα ἔπληξεν. Ἔστι μὴν ἑρπετῶν γένη ἄλλων καὶ ἄλλων, πλὴν ἧσσόν ἐστι <τῶν> πονηρῶν καὶ λίαν ἀβλαβῶν. Χωρίοις δὲ ἐνδιαιτᾶται διαφόροις ὄντα διάφορα· ἔχει δὲ προσηγορίας τὰ γένη καὶ καλεῖται ἀπ' αὐτῶν· ἔλοπες τοίνυν οἱ μὲν αὐτῶν καὶ ἄλλοι λίβυες κέκληνται, μυοθῆραί τε ἐπὶ τούτοις ἄλλοι καὶ οἱ τὴν κλῆσιν ἔχοντες ἀπὸ τοῦ πράγματος ἀκοντίαι, καὶ μόλουροί εἰσιν ἕτεροι καὶ τυφλῖναι ἄλλοι |

f. 412r 493-508. *Ἀλλὰ καὶ βοτανῶν αὐτίκα καὶ ῥιζῶν τοι πέρι καὶ τῆς ἀπ' αὐτῶν δὴ τούτων πορίζομένης ὠφελείας, οὐ μὴν ἀλλὰ καὶ τῆς ὥρας, καθ' ἣν δεῖ λαμβάνειν τὰς βοτάνας, ἑτοίμως ἀφηγήσομαί σοι καὶ σὺν ἀκριβείᾳ, ἵν', ἐάν ποτέ τινος ὅλως τὸ σῶμα βουληθῇς ἢ πληγῇ κατεσχημένον ἢ ἄλλως ὀδύνῃ παραμυθήσασθαι βαρούμενον, ἡ τοῦ ἐκσῴζειν διὰ τούτων δύναμίς σοι παρῇ. Χρὴ δὲ οὐ μόνον ἄρτι λαμβάνοντα καὶ ἐκ τοῦ εὐθέος τὰς βοτάνας φέρειν τὴν ἴασιν τοῖς τὴν ἀπὸ τῶν ἑρπετῶν πληγὴν παραδεξαμένοις, ἀλλὰ καὶ εὐγεων ἀπὸ χωρίων καὶ βαθέων ἄλλως, ἐν οἷς κνῶπες γίγνονται ἀπὸ τῆς ἐνυπαρ-*

f. 412v *χούσης νοτίδος τοῖς χωρίοις τούτοις. | Ἔστω δὴ πρώτη σοι τῶν ῥιζῶν εἰς ἀφήγησιν ἐρχομένη, καὶ ὧν ἕνεκα παρέχεται θεραπείας χάριν, ἥδε ἡ λεγομένη χειρώνειος. Ὁ δὲ Χείρων οὗτος, ἀφ' οὗπερ ἔσχεν καὶ ἡ ῥίζα τὴν ἐπωνυμίαν, Κένταυρος ἦν καὶ πατρὸς γέγονεν ἐκ τοῦ Κρόνου. Ἐν δὴ τῷ ὄρει τῆς Θετταλίας τῷ Πηλίῳ, ἐπειδὴ τῇδε ἦν ἡ ῥίζα, οὐκ ἔλαθεν αὐτόν, ἀλλ' ἐξευρίσκει, καὶ καλεῖ τό γε ἐντεῦθεν χειρώνειον αὐτήν, ὅτι αὐτὸς αὐτῆς ὁ Χείρων εὑρετὴς γέγονεν. Καὶ τὸ μὲν εἶδος αὐτῆς τυγχάνει τοιόνδε· ἐμφερής ἐστι κατὰ τὰ φύλλα ἀμάρακι, τὸ δὲ ἄνθος παρέχεται χροιὰν τὴν ἀπὸ τοῦ χρυσοῦ· ἡ ῥίζα γε μὴν οὐκ εἰς βάθος ἀλλὰ ἐπιπολῆς ἐστι καὶ γῆς ἐν ὀλίγῳ, δύναται δὲ διδομένη παντὶ τῷ πληγέντι ὑφ' ἑρπετοῦ, ὑφ' οἵου δ' ἂν τύχῃ, ῥύεσθαι καὶ ὑπεξάγειν ὀλίγου δεῖν τὸν τῷ θανάτῳ προσωμιληκότα. Ἐμβαλὼν*

1 *τὸν Τριπτόλεμον* secl Gual || 3 *τῶν* add A || *ἐνδιαιτᾶται* A: *ἐνδιαταται* VM || 7 *μολοῦροι* A || 18 *κνῶπες* Gual.: *κωνωπες* codd || 24 *τῇδε* scripsi: (possis et. *ὧδε*): *ἥδε* codd. edd.

τοίνυν εἰς ὅλμον τοσοῦτον ἀπ' αὐτῆς τῆς ῥίζης ὁπόσον αὐταρκές ἐστι καὶ πρὸς θεραπείαν, εἰς κοτύλην οἴνου πρότερον μέντοι κόψας, εἶτα τὸν οἶνον ἐπιχέας, δίδου τηνικαῦτα πίνειν τῷ ἐγγὺς καὶ παρὰ τὸ-δεινὸν ἐκεῖνο ἐλθόντι. Ἐάν τε τοίνυν οὖσαν ξηρὰν ἐάν τε καὶ ἀνελόμενος ἐκ τῆς γῆς αὐτίκα μάλα παρὰ χεῖρας ἔχῃς, οὐδὲν τοῦτό σοι διοίσει θεραπείας χάριν. Ἐμοὶ μὲν οὖν δοκεῖ διὰ τοῦτο καὶ πανάκειον προσειρῆσθαι· ἐπιλέγεται γὰρ καὶ τούτῳ τοῦτο τὸ ὄνομα πανάκειον, διότι ἄκεσιν ἐπιφέρει, καὶ διαδράντες ἀπίασι πολλοὶ ἃ περιμένειν ἀνάγκη θεραπείας χήτει τοὺς ταῖς ἀπὸ τῶν ἑρπετῶν συμφοραῖς καὶ κακοῖς ἀμηχάνοις περιπεπτωκότας |

f 413r 509-519. *Ἐχομένη δέ ἐστι τῆς βοτάνης ταύτης ἀριστολόχεια, καὶ ταύτην ἐγὼ <οὕτω> καλουμένην οἶδα. Καὶ αὕτη μετ' οἴνου πινομένη ποιεῖν τὰ αὐτὰ τῇ προτέρᾳ βοτάνῃ δύναται, φύεσθαι δὲ ἐι συσκίοις ὡς ἐπίπαν φιλεῖ, καὶ ἀπὸ τοῦ συλλαμβάνεσθαι πρὸς εὐτοκίαν ταῖς τικτούσαις αὐτὴν γυναιξὶν οὕτως ἀριστολόχεια κέκληται. Φύλλα δὲ φέρει μὲν κισσοειδῆ καὶ σχεδὸν τὰ αὐτὰ δεικνύουσα τῇ περικλυμένῃ, ἀνθεῖ δὲ ἐρυθρὸν καὶ οἷον ἡ ὕσγινος. Ταύτῃ δὲ κέχρηνται πρὸς τὰς βαφὰς τῶν οἷα περ αὐτὴ τὴν χροιὰν ἡ ὕσγινος τυγχάνει. Ἀποπνεῖ δὲ δεινὸν ἄρα καὶ λίαν δυσχερές, καὶ τὸν καρπὸν παρεοικότα ταῖς ἀχράσιν φέρει καὶ μυρτάδος ἄντικρυς τῷ καρπῷ καὶ βάκχης καὶ τούτων ἀπίων |*

f 413v *Ἀλλὰ μὴν ἄρσενός τε καὶ θήλεος ἡ ταύτης παρέχεται τῆς βοτάνης φύσις διαφοράς· τῆς μὲν γὰρ ἄρρενος ἀριστολοχείας ἐστὶν ὑπομήκης τε ἡ ῥίζα καὶ χωρεῖ πρὸς βάθος καὶ ἔστιν περίπου πηχυαία· ἡ θήλεια δέ ἐστιν οὐχ ὁμοίως μακρά, ἀλλὰ εὐστρόγγυλος εἰς μέγεθος, καὶ εἰς τὸ βάθος οὐ λίαν ἡ ῥίζα κάτεισιν, πύξῳ δὲ τῇ ἐν Ὠρικῷ τὸ εἶδος ἔοικεν,*

14 *οὕτω* addidi: *τί οὕτω* add. Cazz., rec. Gual || 18 (et infra, l. 26) *ἀριστολόχεια* scripsi (cl. Ther 509 et 937): *ἀριστολοχία* edd || 20 et 22 *ὕσγινος* edd : *ὕσπνος* codd || 21 *τῶν οἷα* nos: *τῶν <ὁμ>οία* ci Gual *τωνοια* codd || 24 *τούτων* dub. in adpar. Gual.: *τουτων* VM *τοῦ τῶν* A *που τῶν* Cazz., rec Gual. *τῷ τῶν* Buss. || 28 *περίπου* scripsi: *περιτιου* codd *περί τί που* edd || 30 *Ὠρικῷ* A: *Ὠρίκῳ* Gual.

καὶ ἔστιν τῆς Κρήτης τὸ χωρίον, ἐν ᾧ αἱ πύξοι τοιαῦται φύονται. Πινομένη τοίνυν οἴνου μέτα καὶ τούτου μέλανος εἰς δραχμὴν τοῖς ὑπὸ ἐχιδνῶν ἢ ἔχεων δηχθεῖσιν ἱκανῶς βοηθεῖ.

520-527. Καὶ τὸ λεγόμενον τρίφυλλον οὐδὲν ἐᾷ παθεῖν τὸν δηχθέντα οὐδὲ ὑπομεῖναι βλάβην τινὰ πλήξαντος ἑρπετοῦ. Ναὶ μέντοι τὴν βοτάνην ὡς ὅτι μάλιστα ἐπιζήτει ταύτην ὀρεινῶν ἀπὸ καὶ ἀποκρήμνων καὶ τραχέων τόπων ἐκλέγεσθαι. Ἔτι γε μὴν ἀξιοῖ τὸ τρίφυλλον τοῦτο παρὰ μὲν ἐνίων μινυανθές, τριπέτηλον δὲ παρ' ἑτέρων προσαγορεύεσθαι. Ἔχει δ' οὖν τὰ μὲν φύλλα παρεοικότα τοῖς τοῦ λωτοῦ, ὀδμὴν δὲ τὴν αὐτὴν τῇ ῥυτῇ (ὃ πήγανον, Λακεδαιμόνιοι ῥυτὴν τῇ ἐπιχωρίῳ κεχρημένοι λέγουσί που φωνῇ). Ὁπόταν δὲ δὴ τῆς βοτάνης ταύτης μαρανθῇ μὲν τὸ ἄνθος, τὰ δὲ φύλλα οἴχηται, δόξαις ἂν ἀποφορᾶς ἀσφάλτου μετέχειν αἰσθανόμενος τῆς ὀδμῆς τοῦ τριφύλλου τούτου. χρήσιμον δέ ἐστι τηνικαῦτα συνάγειν τὸ σπέρμα, ὁπόταν ἐπακμάσαν ἑαυτοῦ γηραιὸν γένηται. στρογγύλον μήν ἐστι τὸ σπέρμα, καὶ κυμβάλου σωζόμενον ἐφ' αὑτοῦ δείκνυται τὸ σχῆμα, ὑπὸ ὄφεων δὲ τοὺς δηχθέντας ἅμα οἴνῳ τόδε διασῴζει ποθέν |

f. 414r 528-540. Ἀλλά σοι καὶ ταύτας ἐγὼ τὰς συνθέτους ἄρα καὶ θεραπευτικὰς βοηθείας, ὡς ἂν οἷός τε ὦ, διεξελεύσομαι. Ἔστι τις νῆσος Σικελία, ἐν ᾗ θάψος τις λεγομένη γίγνεται βοτάνη. Ταύτης τῆς θάψου τὴν ῥίζαν τρίψας ὡς μάλιστα ἐπιμελῶς, μετὰ μέντοι τοῦ ἄγνου τοῦ καρποῦ, νῆρίν τε πρὸς τούτοις τὴν βοτάνην καὶ πηγάνιον ἐπιβαλών, θύμβρης τε ὁμοίως κλῶνας, ἀλλ' οὐ τῆς ὀρείου, ἀλλὰ τῆς ἐν τοῖς τόποις τοῖς ἡμερωτέροις φυομένης (ἡ γὰρ δὴ ὄρειος αὕτη θύμβρα εἰς ὕψος αἴρεται καθάπερ ἕρπυλλος),

7 Ναὶ (del ει) ci Gual : ειναι VM εἶναι A, edd. cett || 8 ἀποκρήμνων edd : αποκρημνον VM ἀπὸ κρημνῶν A || 12 sq. ῥυτῇ (ὃ ... φωνῇ) scripsi: ῥυτῇ, ὃ πήγανον Λακεδαιμόνιοι ῥυτὴν ... φωνῇ Gual ὅ ἐστι πήγανον, λακεδαιμόνιοι δὲ ῥυτὴν κλπ A; an τὸ πήγανον scrib ? || 15 δόξαις Gual : δόξης codd. δόξειας edd. || 19 ἐφ' A: ἐπ' V || 28 ἀλλ' om A.

ἀνθοῦντός τε δὴ τὸ σφοδρὸν ἀσφοδέλου ῥίζαν, τό τε καυλεῖον ἄλλοτε καὶ ἄλλοτε σπέρμα ἔτι μέντοι αὐτὸ φέροντος τοῦ ἀσφοδέλου καὶ ἔχοντος ἐν ἑαυτῷ τὸ σπέρμα τοῦ λοβοῦ, ταῖς οὔσαις προστίθει. Ἑλξίνη δέ ἐστι βοτάνη, καὶ λέγεται τοῦτο ἀπὸ τοῦ μηδὲν αὐτὴν συγχωρεῖν πλησίον ἑαυτῆς φύεσθαι. αὕτη που τὸν μὲν χυμὸν ἰξώδης τυγχάνει. κλύβασις ἥδε διὰ τοῦτο πρὸς τῶν πολλῶν ὀνομάζεται, χαίρει δὲ ἐν τῷ ἕλει γίγνεσθαι, καὶ μᾶλλον ἐν εὐύδροις τόποις. Κόψας καὶ ταύτην ἅμα ταῖς ῥηθείσαις τὴν βοτάνην ἐπιμελῶς πάσαις, μάλιστα μὲν ὄξει προσχρώμενος καὶ διαμειγνὺς ταῖς ἄλλαις συναναλάμβανε. εἰ δὲ μὴ παρείη ὄξος, οἴνῳ προσκέχρησο. εἰ δὲ ἀποστερῇ καὶ τούτου, ἴθι σὺ τὴν ἐπὶ τὸ ὕδωρ, καὶ οὕτως ἀναιροῦ πάντα διὰ τοῦ ὕδατος. ἀντίξοον γὰρ τῷ θανάτῳ κατασκευάσεις βοήθημα καὶ σωτηριῶδες ἄντικρυς ἀπὸ τῶν ἑρπετῶν |

f. 415r 541-549. Καὶ ἡ ῥίζα δὲ (ἀγαθόν τί ἐστιν ἄρα ἐπίστασθαι αὐτήν) ἡ πρότερον μὲν ἐχίειον, ὕστερον δ' ἀλκίβιον προσαγορευθεῖσα. ἔστι δ' οὖν τὰ μὲν φύλλα ἐξ ἑαυτῶν οἷον ἀκάνθας ὁρᾶν περιβεβλημένα τὰ ταύτης καὶ περικείμενα, τὸ δὲ ἄνθος αὐτῆς οἷόν περ καὶ ἴῳ, τὴν ῥίζαν δὲ οὐχ ἔχει παχεῖαν, ἀλλὰ ἐπὶ μῆκος ἐκτέταται. Λέγει δὲ λόγος τις ταῦτα περὶ ἀλκιβίου, ὡς ἦν Ἀλκίβιός τις καὶ ἐκάθευδεν πλησίον καὶ παρ' αὐτὴν ἐλθών πού ποτε τὴν ἅλω. τὸ δὲ γιγνόμενον ἦν ἐν θέρει. ἔρχεται οὖν τὸν Ἀλκίβιον καὶ τιτρώσκει ἔχις εἰς τὸν μηρόν, ὁ δὲ διαναστὰς ἐκ τοῦ ὕπνου καὶ ὀδυνώμενος, γίγνεται μὲν εὐθέως ἑαυτοῦ, λαβὼν δὲ πλησίον οὔσης ῥίζαν τῆς βοτάνης ταύτης, εἶτα ἀνασπάσας ἀπὸ τῆς γῆς ταχύ, κατακόπτειν παραδίδωσιν αὐτοῦ ταύτην τοῖς ὀδοῦσι. καὶ τὸ μὲν ὑγρόν, ὅσον ἦν, τοῖς ἐντὸς διὰ τοῦ λαιμοῦ χορηγεῖ χωρίοις, τὸ δὲ ἄλλο τῆς ῥίζης, ὅθεν ἦν τὸ ὑγρὸν ἐκμυζηθέν, τοῦ στόματος ἐξαγαγὼν καταπλάττει τὸ

1 καυλεῖον VM: καυλίον A, edd., sed cf. Nic. Ther. 75, 535 et 882 || 12 ἴθι σὺ A: ιθισοι VM || 13 ἀντίξοον Schn : ἀντίζωον codd. || 19 ὁρᾶν MA: ωραν V || 21 ἐκτέταται A: εκτετακται V || 24 ἐπὶ ante τὸν Ἀλκίβιον add. Gual. sed cf. infra, p. 40, 7 et Sur les Thér. p. 93 || 30 τὸ δὲ ἄλλο codd. : τῷ δὲ ἄλλῳ ci Schn.

ἕλκος. Ἀλκίβιον τοίνυν ἡ βοτάνη μετὰ ταῦτα διὰ τοῦτο κέκληται, πρόσθεν ἐχίειον λεγομένη, ὅτι εἴτε ὁ εὑρὼν τὸ πρῶτον εἴτε ὁ χρησάμενος <καὶ> περισωθεὶς Ἀλκίβιος ἦν.

550-556. Οὐ μὴν ἀλλ' ἔτι καὶ τῆς πρασίου χλωρᾶς οὔσης κόψας ὁμοῦ κλῶνας πάνυ σφόδρα καὶ λευκῷ ἐν οἴνῳ ἀναλαβών, τοὺς ὑπὸ ὄφεων πληγέντας ἕξεις διὰ τούτου δύναμιν τοῦ κινδύνου ῥύεσθαι· ἡ γὰρ δὴ πράσιος αὕτη καὶ τὰς πρωτοτόκους λέγεται τῶν βοῶν, ὁπόταν εἶεν αὗται βαρυνόμεναι τῷ γάλακτι, ἥκιστα πάντων ἐπὶ τούτοις μεταποιούμεναι τῶν νεογνῶν, περιτεθεῖσα τοῖς μαζοῖς στέργειν ἀναγκάζει<ν> τὰ f. 415v *ἔγγονα, προχεομένου μετὰ ταῦτα πολ|λοῦ καὶ ἀπορρέοντος τοῦ γάλακτος· ἥδονται δὲ καὶ μέλιτται τῇ πρασίῳ ταύτῃ, ἣ μελίφυλλον μὲν παρ' ἐνίων, μελίκταινον δὲ διὰ τοῦτο παρ' ἐνίων προσαγορεύεται· αἱ γὰρ δὴ μέλιτται τῶν κατὰ σφᾶς ἐπιλαθόμεναι χωρίων καὶ ὧν εἰργάζοντο κηρίων καὶ οὗπερ ἐποιοῦντο μέλιτος, παρὰ ταύτην ἴασι καὶ βομβοῦσιν ἐρχόμεναι καὶ τὰ ταύτης φύλλα τῆς πρασίου, ἐχόμεναι ὑπ' εὐωδίας καὶ τῶν ταύτης καλῶν.|*

f. 424r *557-563. Καὶ μὴν καὶ ὄρνιθος τῆς ἐν ποσὶν καὶ ἐν οἴκῳ οὔσης {ὁ} περιελὼν μετὰ τὸν τοῦ ὀστέου, ὡς οἷόν τε, αὐτοῦ που τοῦ ἐγκεφάλου τὸν ὑμένα, πολύκνημόν τε ἐπὶ τούτοις λεπτόν, ἔτι μὴν καὶ ὀρίγανον, καὶ ἥπατος κάπρου τὸ ἄκρον τοῦ λοβοῦ (τοῦτο δὲ ἐξ αὐτῆς τῆς λεγομένης τραπέζης ἀνέχειν πέφυκεν τὸ ἄκρον τοῦ λοβοῦ· ἐνταῦθα συννένευκεν ἡ τοῦ ζῴου χολή, καί εἰσι σχεδὸν πλησίον ἐκείνου τοῦ λοβοῦ αἱ αὐταί που λεγόμεναι τοῦ ἥπατος πύλαι), ἰδίᾳ τοίνυν ἕκαστον τρίψας ἐπιμελῶς, τόν τε ἐγκέφαλον αὐτὸν καθαρὸν ποιήσας τοῦ ὑμένος καὶ τὰ ἄλλα πάντα συναγαγών, δίδου ἅμα ὄξει πιεῖν τῷ πληγέντι· ἄμεινον δὲ ποιήσεις μετ' οἴνου |*

2 *ὅτι εἴτε* edd : *οτιτε* VM *ὅτι τε* A ‖ 3 *εἴτε* VM: *εἶτα* A ‖ *καὶ* add A, edd ‖ 9 *τούτοις* V: *τούτῳ* A ‖ 10 *ἀναγκάζειν* Buss : *-ζει* codd ‖ 13 *μελίκταινον* codd : *-ταινα* Schn Buss ‖ *τοῦτο* A: *τουτου* V ‖ 17 *καὶ* codd : *κατὰ* Gual monente Cazz *ἐπὶ* Schn , sed cf Sur les Thér p 93 ‖ 18 *ἄλλως* ante *ταύτης* add A ‖ 19 Quae hic sequuntur usque ad p 41, 4, codd omnes post versum 827 (p 45, 22) transponunt ‖ 20 *περιελὼν* A: *ὁ περιελὼν* V, edd , sed cf Sur les Thér p 93 ‖ 29 *ποιήσεις* edd : *ποιησην* V *ποιήσειν* M *ποιήσεις εἰ* A.

f. 424v *564-573. Θαρροῦντα δὲ δὴ προσήκει κἀκείνῳ κεχρῆσθαι, ὃ πινόμενον μὲν ὀνίνησι καὶ ἀσινῆ διαφυλάττει, ἣν ὑπὸ θηρίου τις ὢν τετρωμένος τύχῃ· ἄλλως δέ ἐστιν αὐτὸ οὐ χαλεπὸν δρᾶσαι. Κυπαρίττου τοίνυν ἔστω-φύλλα καὶ πανάκειον ἡ βοτάνη, κάστορός τε ὁμοίως τοῦ ζῴου οἱ λεγόμενοι κρεμαστῆρες, καὶ ἵππου, ὃν ὁ Νεῖλος ἐπὶ κακῷ τοῖς ἐν Σάει φέρει· ἐξελθὼν γὰρ οὗτος τοῦ ποταμοῦ λυμαίνεται αὐτῶν τὰ σπέρματα, κείρων τοῖς ὀδοῦσιν ἐπὶ πολύ, καὶ αὖθις ἐπανερχόμενος ἐν τῷ Νείλῳ εἶσιν, ἀφελόμενος πρὸ τῆς ὥρας Σαΐτας τοῦ θέρους. Ἕκαστον τοίνυν τούτων ἔστω τὸ βάρος εἰς δραχμὴν ἕλκον· εἶτα ἐν θυείᾳ ταῦτα κόψας, ὡς χρὴ διδόναι, τετρωμένῳ δίδου πιεῖν ὧδε, μεθ' ὕδατος μέντοι |*

f. 425r *574-587. Οὐ μὴν ἀλλ' ἔτι χρὴ λήθην ἡμᾶς μηδὲ τούτων ἄγειν ἀλλ' οἷόν τι δὴ τό τε ἀβρότονον ἐμβάλλοντας καὶ δάφνης τῆς ἄρρενος ἔτι μὴν τὸν καρπόν. Διακρίνοις δ' ἂν αὐτὴν ταύτην ἀπὸ τῆς θηλείας τὴν ἄρρενα, εἴπερ ἐπισκεψάμενος εἴης φύλλα τὰ παρ' ἀμφοτέραις· μαθὼν γὰρ δηλαδὴ τὰ ταύτης, ὥς που τυγχάνει στενότερα, ἀγνοήσεις οὐκέτι τοῦ λοιποῦ τούτου τὴν φύσιν. Μετὰ μὲν δὴ τούτων τῶν βοτανῶν ἡ ἀμάρακος ἐμβαλέσθω (φέρουσι δὲ αὐτὴν κῆποι καὶ τῶν ἀνδήρων οἱ πλείονες) πυτία τε ἀρτιτόκου πρὸς τούτοις λαγωοῦ καὶ δορκάδος καὶ ταύτης νεογνοῦ καὶ νεβρῶν τὰ περιττώματα καὶ ἐχῖνος ἐλάφου (μέρος ἐστὶν ἐχῖνος ἐλάφου τῆς γαστρός, καὶ ὑπ' ἄλλων κεκρύφαλος αὐτῷ ὄνομα τέθειται). Ἀφ' ἑκάστου δὴ τούτων ἀνὰ δραχμὰς β' οἴνου μὴν κεχρημέ-*

6 *Σάει* MA: *σα+ι* V ‖ 9 *εἶσιν* Cazz : *ει τις* VM *εἴ τις* A *οἰκεῖ* Schn ‖ *ἀφελόμενος* VM: *οὖν ἀνελόμενος* A ‖ *πρὸ τῆς ὥρας* A, edd : *πρωτησωρας* VM ‖ *Σαΐτας* VM: *Σαείτας* Buss *σαειτῶν* A ‖ 10 *ἕκαστοι ... ἕλκοι* A, rec Gual : *εκαστοι ... ελκοντος* VM ‖ *ἔστω* et *εἰς* om A ‖ 11 *ἐν θυείᾳ* scripsi post Gual qui *ἐν θυΐᾳ*: *ηνενειης* VM *ἣν ἐνοίη* A *ἣν ἐνίῃς* Schn ‖ *ὡς* edd : *καὶ* codd ‖ *χρὴ* VM: om A ‖ 11 sq *διδόναι ... μέντοι* VM: *διδῶ τῷ τετρωμένῳ πιεῖν μεθ' ὕδατος μέντοι, ὠφελήσοι* A ‖ 14 *ἀλλ' οἷόν τι δὴ* VM: *ἀλλοίων ὄντων· δεῖ* A ‖ 18 sq post *στενότερα* habet V siglum et in marg idem siglum cum verbis *αγνοησεις ουκετι του λοιπου του* in textu omissis in quo legitur *του την φυσιν*. Ex quo *τούτου τὴν* (l 19) scripsi: *τούτου* om edd ‖ 23 *ἐχῖνος* A: *ἐχῖνον* VM ‖ 25 *δραχμὰς* A: *δραμας* V ‖ *μὴν κεχρημένους* codd : *μὴ κεκρημένου* dub Buss

νους τέτρασι κοτύλαις καὶ τούτου δὴ λευκοῦ διδόναι χρὴ πίνειν τοῖς ἐν χρείᾳ καθεστηκόσι μετὰ τὸ δηχθῆναι. Ἐχώμεθα δὲ καὶ τῆς ὠφελείας, ἥσπερ παρέχεται τὸ πόλιον· ὅ τε γὰρ καρπὸς ὁ τῆς κέδρου καὶ ὁ τῆς ἀρκεύθου ἅμα δὴ τοῖς ἀπὸ τῆς πλατάνου γιγνομένοις σφαιρίοις, ὡς ἔστι κατιδεῖν, καὶ τῷ σπέρματι τοῦ βουπλεύρου καὶ τῆς κυπαρίττου τῷ καρπῷ καὶ ἐλάφου πρὸς τούτοις <τοῖς> διδύμοις ὁμοῦ συμβληθέντα ἐκσῴζειν ἰσχύσει πινόμενα, κἂν ὁπωσοῦν ἔχειν πονηρῶς ὁ δηχθεὶς δόξειεν ἀπὸ τοῦ θηρίου.|

f. 425ᵛ 588-603 *Θεραπεία δὲ τοῦ κινδυνεύοντος ἐκ πληγῆς θηρίου πρὸς ταῖς ἤδη ῥηθείσαις ἔστω τις καὶ ἥδε· κολυβάτειαν τὴν βοτάνην τὴν λεγομένην κομίζων τις ἐμβαλλέτω θυείᾳ, εἶτα λεαίνων πάνυ σφόδρα πτισάνης κοτύλην χυλοῦ καὶ οἴνου κυάθους τοῦ παλαιοῦ β′, καὶ ἐλαίου β′ καὶ τούτου καθαροῦ, εἶτα ἐπιβάλλων καὶ διδοὺς ἀπώσεται τὸν ἰὸν καὶ οὐκ ἐάσει τὸν πληγέντα τοῦτον ἀπολέσθαι κακῶς. Ναὶ μὴν καὶ ἱππομαράθου ῥίζαν, καὶ κέδρου καρπὸν καὶ πίσσης ἔτι μὴν τῆς ὑγρᾶς, ὡς κοτύλης ἕκτον, καὶ χλωροῦ νάρθηκος καυλεῖα καὶ ἱπποσελίνου σπέρμα (ὀξυβάφου μέτρον ἐχέτω τὸ ἱπποσέλινον) σμύρνης τε τῆς πικρᾶς δραχμὰς μετὰ πάντων β′, καὶ κυμίνου τὸ ἀρκοῦν, προστρίψας τούτων τὸ αὔταρκες, ἐμβαλὼν εἰς οἴνου κύαθον, ἀπνευστὶ πάρεχε τῷ πληγέντι πίνειν.|*

f. 426ʳ 604-619. *Νάρδος ἐστὶ βοτάνη· ὁ σταθμὸς ἔστω ταύτης δραχμή· καὶ ποτάμιος καρκίνος ἐν νεαρῷ πάνυ καὶ προσφάτῳ γάλακτι τριβέσθω λίαν ἐπιμελῶς, ἶρίς τε ἡ παρὰ Δρίλωνα καὶ Νάρωνα γεωργουμένη τοὺς ποταμούς, οὗπερ δὴ Κάδμον ἀφικέσθαι τὸν Σιδώνιον πεποίηκεν καὶ Ἁρμονίαν ἐνταῦθα ὁ λόγος λέγεσθαι· καὶ ὅτι δράκοντες ἐγένοντο καὶ νέμον-*

7 *τοῖς* add. Gual ‖ 8 *ἐκσῴζειν* A: *ἐξσωζειν* V ‖ *ἰσχύσει* A: *-ση* V ‖ 9 *ἀπὸ* codd.: *ὑπὸ* malit Buss ‖ 11 *κολυβάτειαν* scripsi, cf 47, 2: *κολυμβατιαν* codd. ‖ 12 *θυείᾳ* scripsi: *θυΐᾳ* edd. ‖ 16 *τοῦτον* VM: *τούτω* (*ω* in ras. p. corr.) A ‖ 26 *παρὰ Δρίλωνα* Schn.: *παραριδωνα* VM *παρὰ ῥίδωνα* A ‖ 27 *Νάρωνα* codd., edd., *Νάρονος ὄχθαι* Nic. Ther 607 ‖ 28 *Σιδώνιον* A: *Σιδόνιον* VM, edd. ‖ 29 *νέμονται* Schn.: *ανεμονται* VM *ἀνιμῶνται* A

ται ταύτην, καὶ ταῦτα ὁμοίως ὁμολογεῖ. Ἄνθη τε ἐρείκης ἐμβαλλέσθω, ἃ ταῖς μελίτταις εἶναι δοκεῖ κομιδῇ ποθεινά, μυρίκη τε, ἧς ἡ φύσις ἐδέξατο κλῆρον τοῦ μὴ φέρειν καρπόν. Λέγεται μέντοι καὶ ὡς ἥδε παρ' Ἀπόλλωνος ἡ μυρίκη τοῦ ἐν τῷ Ὠρωπῷ τιμῆς ἠξιώθη, τούς τε δὴ οὖν μάντεις καὶ προφήτας ἐστεφανωμένους αὐτῶν τὰς κεφαλὰς κλάδοις προλέγειν ὅσια τοῖς ἀνθρώποις, ἵνα φρονοῖεν καὶ δίκαια. Ἥ τε δὴ κόνυζα, καὶ οἱ τῆς ἀκτέας κλάδοι ὁμοῦ τοῖς ἄνθεσι καὶ τοῖς φύλλοις αὐτοῖς, σάμψουχόν τε καὶ κύτισος ἅμα τιθυμάλλῳ, καὶ ταῦτα ἐμβαλλέσθω θυείᾳ, εἶτα μειγνύμενα λειούσθω σφόδρα ἐπιμελῶς, μετὰ δὲ ταῦτα ἐν σκαφίδι οἴνου προσπλεκομένου συνανακιρνάσθω· ὁ δὲ οἶνος μέτρον ἔστω δέκατόν που χοός.|

f. 426ᵛ 620-629. *Ἀμείνους τῶν νέων βατράχων εἰσὶν εἰς θεραπείαν οἱ παλαιοί, καὶ μεγάλα ὀνίνησιν τοὺς πληγέντας ὑπὸ θηρίου, ἣν μέντοι εἰς ὄξος αὐτούς τις καθεψήσας πάνυ πίνειν ἐπιδιδοῖ τῷ κάμνοντι. Οὐ μὴν ἀλλὰ καὶ καθ' αὑτὸ ἧπαρ βατράχου διδόμενον οὐχ ἧσσον ὠφελεῖ· Ὠφελεῖ δὲ τοῦτο ὧδε ἅμα οἴνῳ ποθέν, σὺν οἴνῳ δὲ οὐχ ἁπλῶς πινόμενον, ἀλλὰ ἐξ Αἰγύπτου. Ἔτι μὴν καὶ ἡ τοῦ τρώσαντος ὄφεως κεφαλὴ τὸν ὑπ' αὐτοῦ τετρωμένον ἀπαλλάττει κακῶν, ὕδατι μὲν ἀποπλυθεῖσα πάνυ ἐπιμελῶς, εἰς οἶνον δὲ ἀποβραχεῖσα· ἣν τις πίῃ αὐτοῦ, οὐδενὸς μεθέξει τῶν δυσχερῶν. Ἀτὰρ οὖν καὶ τῆς ἑλιχρύσου βοτάνης ἐπιμελῶς ἔχε, καὶ τοῦ ἄνθους αὐτῆς τοῦ γλυκέος τὴν θεραπείαν ἐπίστασθαι μηδαμῶς παραιτοῦ, κορχόρου τε δὴ τῆς καὶ μύου ὀνομαζομένης (λέγεται γὰρ οὖν καὶ μύον ἥδε ἡ βοτάνη) καὶ τῆς κατὰ τὰς ἀκτὰς κονίλης που λεγομένης φύεσθαι, <ἣ> ἡρακλεῶτις ὑπό τινων, ὑπὸ δὲ ἄλλων ὀρίγανον προσαγορεύεται· ἔστι δέ τις καλου-*

1 *ταύτην* (scil. *χώραν*) codd.: *ταύτῃ* Buss ‖ *ἐρείκης* A, Buss.: *ἐρίκης* VM, edd. cett ‖ 9 *σάμψουχον* V: *σάμψυχον* A ‖ *κύτισος* Buss.: *κύτισσον* codd ‖ 10 *ἐμβαλλέσθω* A, edd.: *ἐμβαλέσθω* V ‖ *θυείᾳ* scripsi: *θυΐᾳ* codd., edd. ‖ 17 *ἐπιδιδοῖ* V (cf. infra, p 73, 16 *ἵνα . . ἐπιδιδοῖ*): *ἐπειδηδοι* M *ἐπιδιδῷ* A, edd ‖ 19 *τῷ* ante *ἐξ Αἰγύπτου* add Schn fort recte ‖ 28 *ἣ* add A ‖ *ἡρακλεῶτις* A: *ηρακλεωστις* V ‖ 29 *προσαγορεύεται* A, edd.: *προσαγορευται (= προσαγόρευται?)* VM, quod possis (cf. Observ p 57)

μένη βοτάνη ὄνου πετάλεια. Καὶ τὸ ὀρίγανον καὶ τὰ στρομβεῖα τῆς θύμβρης κάλλιστον εἰδέναι, καὶ οὐκ ἂν μή ποτε ὑγιὴς ὁ τούτῳ χρώμενος τῷ φαρμάκῳ διὰ πάντων ὤφθη.|

f. 427r 630-635 Ἐπίστασο δὲ καὶ τὴν ταῖς μικραῖς μηκωνίσιν ἐοικυῖαν ῥάμνον, τὸ λευκόν τε καὶ εὐαυξὲς παρέχουσαν ἄνθος, ἥν που φιλέταιρον μὲν ἄλλοι, φιλάλληλον δὲ ἄλλοι προσονομάζουσι· Λυδῶν εἰσι παῖδες οἱ τοῦτο λέγοντες (τοῦ Τμώλου δέ εἰσι μὲν οἱ Λυδοὶ πρόσοικοι, δείκνυται δὲ ὡς ἔστι παρ' αὐτοῖς τὸ Γύγου σῆμα) καὶ οἱ τὸ Παρθένιον ἔτι μὴν οἰκοῦντες καὶ Κίλβιον ὄρος, ἔνθα εἰσὶν ἵππων ἀγέλαι καὶ νέμονται πολλαί, καὶ μέντοι καὶ <αἱ> τοῦ Καΰστρου πηγαὶ ἐντεῦθεν ἄρχονται.|

f. 427v 636-647. Ἀλλά τοι καὶ ῥίζαι τυγχάνουσιν, αἳ τοὺς πληγέντας ὀνίνησιν, ἢν ὑπὸ ὄφεων δηχθῶσι, καὶ περισῴζουσι τοῦ κινδύνου, ἃς χρή σε παρ' ἐμοῦ μαθόντα, δυνάμεις τε δὴ τὰς τούτων καὶ τὰς θεραπείας ἔπειτα εἰδέναι, καὶ πρῶτον μὲν τὴν ἐχίειον βοτάνην οὕτω καλουμένην. Εἶδος δὲ οὐχ ἕν ἐστι τὸ ταύτης, ἀλλ' ὑπάρχει δύο· ἡ μὲν οὖν ἑτέρα τούτων ἀγχούσῃ εἴκασται· ἔστι γὰρ τὰ φύλλα τραχυτέρα καὶ οὐδὲ ἀνέχει πολὺ τῆς γῆς, οὐδὲ τοὺς κλάδους εἰς πάχος αἰρομένους ἔχει· ἡ μέντοι ῥίζα ἐκτέταται, καὶ ἐπὶ πολὺ διήκει κατὰ τῆς γῆς κάτω· δασεῖα δὲ ἡ ἑτέρα καὶ σφόδρα εὔφυλλος, αἰρομένη τε εἰς ὕψος καὶ ἁδροὺς τρέφουσα τοὺς κλάδους, ἀνθεῖ δὲ οἷον ἡ πορφύρα, καὶ ἔστιν αὐτὴν ἰδεῖν οὐ πόρρω ἀνθοῦσαν τῆς βοτάνης ἧς ἐστι χάλκης τὸ ὄνο-

1 πετάλεια codd.: πέταλα perp. edd. πέταλα <ἃ> καὶ Gual. monente Cazz., sed cf. Sur les Thér. p. 93 || στρομβεῖα scripsi ex Ther. 629 : στρομβία A στρομβια VM (qui tamen persaepe ι pro ει praebent) || 2 θύμβρης A: θρύμβης VM fort. recte, cf. θρούμπα hodierno sermone graeco || 3 ὤφθη VM: ὀφθῇ A ὀφθείη Buss. Gual. || 6 φιλέταιρον codd.: φιλεταίριον O. Schn. ad Ther. 632 || φιλαλλήλων VM || 11 αἱ add. A, edd. || 14 ὀνίνησιν codd., cf. p. 8, 24 et 35, 15 || 15 sq. ἐμοῦ. τούτων om. et mg. rest. VM || 19 τραχυτέρα (scil. ἡ ἐχίειος βοτάνη) Buss.: τραχύτερα A, rec. Gual. || 21 αἰρομένους A: αιρουμενους VM || 24 ἀνθεῖ MA: ανθη (= ἄνθη?) V fort. recte || 25 χαλκης VM χαλκὶς A κάλχης Buss. Gual.

μα· τὸ δὲ πρέμνον διασῷζον ἂν κατίδοις αὐτῆς τὴν ἐχίδνης μορφήν. Τούτων ἀμφοτέρων λαβὼν ἰσόσταθμον μοῖραν καὶ ῥίζας ἀκάνθου καὶ τοῦ ἠρυγγίου τὸν αὐτὸν ἐκείναις παρεχούσας σταθμόν, ἐμβαλὼν εἰς θυεῖαν, ποίει λεπτά. Τοῦ μὲν δὴ συνάγειν ὁ καιρὸς τὰς ῥίζας ταύτας τὸ ἔαρ ἔστω σοι, ὁ δὲ κομίζων αὐτάς τις τραχὺς ὑπαρχέτω τόπος. Ἐπιτήδειον κατασκευάσεις ἐκ τούτων φάρμακον τοῖς ὑπὸ ὄφεων δηχθεῖσιν ἢ ἄλλων ἑρπετῶν.|

f. 428r 648-655. Ὅτι δὲ τὸ ὀρεινόν ἐστί τις βοτάνη, ὑπάρχει δὲ δὴ τραχεῖα, καὶ ὡς φύλλων τῇδε ἐπίκειται πλῆθος, γιγνώσκειν μοι δοκεῖς. Αὐτὴν τοίνυν ταύτην τὴν βοτάνην, καὶ τὸ σπειρόμενον ὧδε πρὸς τούτοις σέλινον (ὃ γίγνεσθαι μὲν ἐν Νεμέᾳ τὸ πρῶτον ἤρξατο, οὐδὲ πώποτε δὲ τῶν ἑαυτοῦ ἔρημον ὀφθῆναι φύλλων τοῦτο τὸ σέλινον δεδύνηται) καὶ διπλάσιον ἀννήσου σὺν αὐταῖς ταῖς ῥίζαις τούτων τὴν ὁλκὴν παρέχοντος, ὁ δυνάμενος κατὰ λόγον συναγαγεῖν ταύτας ὁμοῦ πάσας καὶ κατασκευάσαι, ἕξει μὲν τοῖς ὑπὸ ἔχεων δηχθεῖσιν εὐπετῶς βοηθεῖν, ἕξει δὲ καὶ τοῖς πληγεῖσιν ὑπὸ τῶν σκορπίων, καὶ τοῖς τῶν φαλαγγίων ἁλῶναι πάθεσιν οὐ παραχωρήσει, ἢν μόνον κατασκευαζόμενον ἐπιμελῶς τύχῃ
f. 428v τοῦτο τὸ φάρμακον. Ἔστω δὲ τρίτον ὀβολοῦ σταθμός| τὸ διδόμενον τῷ δηχθέντι καὶ εἰς οἶνον πιεῖν.

656-665. Χαμαιλέων βοτάνη λέγεται, καὶ ἔστι γένη δύο τῆς βοτάνης ταύτης, καὶ ὁ μὲν τοῦ μέλανος χαμαιλέων γένους ἐς ἴσον ἔρχεται, τά τε φύλλα καὶ τὴν τραχύτητα ἐν αὐτῷ τοῦ σκολύμου φέρων, ῥίζαν δὲ μεγάλην ἅμα καὶ μελανὴν ἔχει, γίγνεται δὲ ἐν ἀνηλίοις χωρίοις καὶ δυσβάτοις ἄλλως· ὁ δὲ ἕτερος ὁ τοῦ λευκοῦ χαμαιλέων γένους ὑψηλὸς μὲν ὁρᾶται καὶ ἄνω τῆς γῆς οὗτος ὑπερέχων πολύ, ὡς ἑτέρωσε δὲ κλινομένην καὶ βρίθουσαν δι' ἀσθένειαν κάτω τὴν κεφαλὴν ἔχει, γλυκεῖαν δὲ παρέχει ἑαυτὴν ἡ ῥίζα γεύσασθαι καὶ οὐ πάνυ λευκήν. Ὠφελεῖ δὲ ὁ μὲν μέλας ἥκιστα

1 αὐτῆς τὴν codd.: αὐτὴν τῆς Buss. || 6 κατασκευάσεις MA: καταισκ- V || 9 ὀρεινὸν A: ὀρινὸν VM, Gual. || 15 τούτων codd.: ταύτην Schn. (Cur. post. p. 25) || 19 ἁλῶναι evan. in V || 22 καὶ VM: om. A || 29 οὗτος VM: οὕτως A

χαμαιλέων, ὁ δὲ λευκὸς πάνυ, ἣν τά τε φύλλα καὶ τὸν φλοιὸν τῆς ῥίζης ὡς εἰς δραχμὴν κόψας, ἐπιχέας ὕδατι, δοίης οὕτω πιεῖν.|

f. 429r 666-675. Ἀλκίβιον ἄλλη τις ἐνταῦθα κέκληται βοτάνη, ᾗ τοὔνομα μὲν ἐτέθη ἀπὸ τοῦ εὑρόντος, δίδοται δὲ αὐτῆς τοσοῦτον μετ' οἴνου, ἤν τις δηχθῇ, πιεῖν, ὁπόσον χεὶρ ἀνδρὸς δύναται δεξαμένη χωρεῖν. Περὶ δὲ ἀλκιβίου τὰ λεγόμενα ταῦτά ἐστιν, ὡς ἦν ἀνήρ, φησίν, Ἀλκίβιος καὶ ἐφίλει θήραν· περὶ δὲ τό τε Φαλακραῖον ὄρος καὶ Κρύμνην καὶ Γράσον, ἅπερ ἐστὶν ἄπεδα χωρία τῆς Τροίας, ὁ Ἀλκίβιος οὗτος ἐκυνηγέτει φιλοχωρῶν· ἐνταῦθα λέγουσι καὶ λειμῶνα δείκνυσθαι τοῦ δουρείου ἵππου. Κυνηγετοῦντος δ' οὖν αὐτοῦ καὶ ἐπικελεύοντος τὴν Λάκαιναν ἐλθεῖν κύνα κατ' αἰγὸς ἀγρίου, προσελθούσης ὀλίγον τῆς κυνὸς καὶ κατὰ στίβον ἐρχομένης ἧς μετῄει θήρας, οἷα δὴ γίγνεται, ἡ Λάκαινα (οὐ γὰρ δὴ μεθίει τῆς ἄγρας ἑαυτήν) παίεται ὑπ' ἐχίδνης κατὰ τὰ τοῦ ῥαντῆρος, ὃς τοῦ τε ὀφθαλμοῦ μεταξὺ τυγχάνει καὶ τῆς ῥινός. Κλάγξασα μὲν οὖν ἥδε ἀποσείεται τὸ θηρίον, προσδραμοῦσα δὲ βοτάνῃ, μασᾶται τῶν φύλλων τῆς βοτάνης καὶ διασῴζεται. Ἀλκίβιος δ' οὖν ἐπὶ τούτοις ἐλθὼν καὶ γνοὺς ἅπερ ᾔδει γενόμενα, ἀφ' ἑαυτοῦ τῇ βοτάνῃ δίδωσιν τὴν προσηγορίαν, ὅτι αὐτὴν ἀγνοουμένην θεραπείας χάριν ἀνθρώποις εἰς μέσον ἤγαγεν.|

f. 429v 676-688. Ἀλλὰ καὶ φυτόν ἐστι κρότων οὕτω λεγόμενον, ὃ τὸν μὲν καρπὸν ὡς ἐλαίαν φέρει, κίκι δὲ ὀνομάζεσθαι πρὸς τῶν πολλῶν κρατεῖ. Τούτου δὴ οὖν τὸν φλοιὸν χλωρὸν τοῦ κρότωνος, μελισσοφύλλου τε σὺν τοῖς φύλλοις, ὃ καὶ μελίλωτον λέγεται, ἅμ' ἡλιοτροπίου τῆς βοτάνης κλάδοις ... (ἐτέθη δὴ ἡλιοτρόπιον ταύτῃ τῇ βοτάνῃ τὸ ὄνομα, ὅτι

9 *φαλακραῖον* A: *-κρεον* V *Φαλάκραιον* Gual. || *Κρύμνην* scripsi ex Ther. 669: *Κρύμην* codd., edd. || 10 *Γράσον* Buss. cl. Ther. 669: *Γράσσον* codd., edd. cett. || 17 *κατὰ τὰ τοῦ* VM: *κατὰ τοῦ* A, edd. || 21 *ᾔδει* codd.: *εἶδε* Schn. sed redundantiam Eutecnii hic habes || 23 *ἀνθρώποις* (ex *ανοις* ortum) conieci: *αυτοις* V *αὐτοῖς* A, edd.; «*αὐτοῖς* aut delendum aut *ἀνθρώποις τετρωμένοις* intellegendum» Gual. || 25 *ἐλαίαν* VM: *ἐλαιῶν* A || *κίκι δὲ* A: *κικιδεοι* VM || 28 post *κλάδοις* lacunam statuit Buss., *λαβέ* add. Gual.

δὴ πρὸς τὴν τοῦ ἡλίου τρέπεται διὰ παντὸς φοράν, καὶ οἷον ἐρῶσα τῆς ἀκτῖνος πρὸς αὐτὴν ἐκείνην τὴν ἀκτῖνα τοῖς τῇδε φύλλοις νένευκεν· καθάπερ καὶ τὴν ἐλαίαν ἔμπαλιν θέρους μὲν τὰ φύλλα τοῦ χειμῶνος ἔχειν, ἔμπαλιν δὲ τὰ τοῦ χειμῶνος ἐν τῷ θέρει στρέφειν). Πεπίστευταί γε μὴν καὶ τὴν ῥίζαν τῆς κοτυληδόνος μάλιστα ὠφελεῖν τοὺς παῖδας· ὁπόταν ὑπὸ χειμῶνος ῥήξεις τινὰς ὑπομείνωσιν ἢ χίμετλα ἐπώδυνα, τὴν βοτάνην αὐτοὺς τότε διαφορεῖν ταύτην, ἔτι μὴν καὶ τῆς πυρίτιδος τὰ φύλλα, ὁπόταν ᾖ χλωρά, καὶ ἣν σκολοπένδρειον προσαγορεύουσι βοτάνην (ὁ καυλὸς ὁ ταύτης ὠφελιμώτατον). Ἄθρει δὴ καὶ ταύτην τὴν βοτάνην, ἧς ἐστιν εὑρετὴς Ἀσκληπιός, ὄνομα δὲ ἐπιλέγεται τὸ ταύτης πάνακες. Ἐν γὰρ δὴ τῇ χώρᾳ τῇ Φλεγυῶν, πλησίον Μέλανος τοῦ ποταμοῦ καὶ παρὰ τὸ χεῖλος διαγωνιζομένου τοῦ τῆς Ἀλκμήνης πρὸς τὴν ὕδραν παιδός, παρὼν τιτρώσκεται ἅμ' αὐτῷ ὑπὸ τῆς ὕδρας ὁ Ἴφικλος, καὶ ὁ Ἀσκληπιὸς αὐτόθεν λαβὼν τὴν βοτάνην ἐπαμύνει αὐτῷ βεβλημένῳ, καὶ οὕτως ἰᾶται.|

f. 430r 689-699. Ἔστω σοι σπουδὴ βοηθεῖν καθάπαξ θέλοντι καὶ τόδε εἰδέναι· τὰ τῆς γαλῆς δή που σκυλάκια ἢ αὐτὴν ἐκείνην τὴν μητέρα ἣν ἀγρεύσας τύχῃς, ὡς ἔτι νεαρὰ τυγχάνει, τὰς τρίχας ἀφαιροῦ διὰ πυρός, εἶτα καθήρας ἐπιμελῶς τὸ σῶμα ταριχείᾳ δίδου, μετὰ δὲ ταῦτα αὐτὸ ἐν σκιᾷ ξήραινε καὶ ἄνευ ἡλίου, φυλαττόμενος ὀφθῆναι μή ποτε τῆς γαλῆς τὸ σῶμα ὑπὸ τῆς ἀκτῖνος· ἄμεινον γὰρ οὕτως. Οὐ μὴν ἀλλ' ἐάνπερ τινὸς θεραπείας εἰς χρείαν καταστῇς καὶ κάμνοντος ἀντιλαβέσθαι θελήσειας, αὐτόν ποτε πλήξαντος ἑρπετοῦ, τῆς ταριχευθείσης ἐκείνης καὶ ψυγείσης γαλῆς ἀποξέσας τοσοῦτον εἰς οἶνον [δίδω]θι τῷ δηχθέντι πιεῖν, ὁπόσον ἄν τις ἀπο-

5 *λέγουσι* post *στρέφειν* add. Gual. sed ut infinitivum narrationis hoc habere possis || 8 *χίμετλα* scripsi (cf. Ther. 682): *χείμεθλα* codd. *χίμεθλα* edd. || 10 *σκολοπένδρειον* scripsi ex Ther. 684: *-δριον* codd., edd. || 11 *Ἄθρει δὴ καὶ ταύτην* scripsi (cf. Ther. 685): *ἄθρει δή, καὶ ταύτην* dist. Gual. || 22 *καθήρας* VM: *καθάρας* A || 24 *ὀφθῆναι* codd., def. Giangrande, p. 101-102: *ὀπτηθῆναι* ci. Gual. || 29 *δίδωθι* scripsi: *[ ]θι* V *διδοθι* M *δίδου* A

ξέσας τυροῦ ἢ σιλφίου τινὸς ἐπιβάλοι ποτῷ. Μακρῷ γὰρ ἄριστον τοῦτο καὶ παντὸς ἐλεύθερον ἱκανὸν φυλάξαι κινδύνου. |

f. 430v 700-714 Ἱκανὸν δὲ ἐπαλεξῆσαι καὶ τὸ τῆς χελώνης αἷμα (χελώνης δὲ νῦν τῆς θαλασσίας, οὐ τῆς ἄλλης λέγω) καὶ ἀναρριπίσαι τοῦ κινδύνου, οὕπερ εἴωθεν ἐπιφέρειν τῷ θνητῷ γένει τῶν ἀνθρώπων τὰ θανατηφόρα τῶν ἑρπετῶν. Κατὰ δὴ οὖν ταῦτα χρὴ πράττειν τὸ ταύτης καὶ λαμβάνειν αἷμα· τὴν χελώνην τὸ μὲν πρῶτον ἐκβαλεῖν δεῖ τῆς θαλάττης ἔξω, ἔπειτα τοὺς θαλαττουργοὺς αὐτὴν ἐκβαλόντας ἐπὶ τῆς ἠϊόνος ἀναστρέφοντας μανθάνειν ὅπου ποτὲ ἔχοι τὴν κεφαλὴν αὔτη,
f. 431r χαλκέῳ δὲ ξίφει κεχρημένους κατὰ δὴ | τοῦ λαιμοῦ τοῦ ταύτης ὧδε ἐπάγειν τὴν σφαγήν· ἔστω δὲ τὸ ὑποδεχόμενον ἀγγεῖον τὸ ταύτης αἷμα κεράμεον καινόν· τοῦ τοίνυν αἵματος τῆς χελώνης τὸ μέν τι τοῦδε πήγνυται, τὸ δὲ οὐ πήγνυται, ἀλλὰ ὑδατῶδες εὑρίσκεται· τούτου τοίνυν τὸ μὲν ὑδατῶδες οὐκ ἔστι χρήσιμον, τὸ δὲ παγὲν εἰ ξηρανθείη, ὡς τεσσάρων ὁλκὴν δραχμῶν, τῇ σκευασίᾳ προσβάλλειν δεῖ ἀγρίου μετὰ κυμίνου δραχμῶν δή που δύο, πυτίας τε λαγωοῦ δραχμῆς τὸ ἥμισυ· μιγέντα γὰρ ταῦτα εἰς οἶνον ὠφελεῖ διδόμενα, καὶ ἡ ποσότης τοῦ σταθμοῦ ὑπαρχέτω δραχμή. Καὶ ταῦτα μέν που πρὸς τοὺς ὑπὸ ὄφεων δηχθέντας ὠφελιμώτατα. |

f. 431v 715-725 Ὡς δὲ καὶ τὸ τῶν φαλαγγίων ἐστὶν ἐπιβλαβὲς γένος καὶ τὸ δῆγμα αὐτῶν οὐχ οἷόν τε εἶναι μὴ πονηρόν, εἰδότι σοι καὶ ταῦτα διεξελεύσομαι. Ἔστι δ' οὖν ὁ φάλαγξ τὴν χροιὰν ποτὲ μὲν ζοφώδης καθ' ἑαυτόν, ποτὲ δὲ ῥαγὸς τὴν χροιὰν σταφυλῆς ἐπανθοῦσαν φέρει, τὴν γαστέρα ἔχων ἐν τῷ μέσῳ, τοὺς ὀδόντας αὐτῆς πλησίον που καὶ τραχεῖς τῆς γαστρὸς προκειμένους φαίνει· ἐπαλλήλοις μὲν χρῆται βαδίζων τοῖς ποσίν, τὸ δὲ δῆγμα αὐτοῦ ὀδύνην οὐ ποιεῖ, οὐδὲ ἴχνος ἡ πληγὴ δείκνυσιν. Τοῦ μέντοι δηχθέντος ὑπὸ φαλαγγίου φοινίσσονται μὲν αἱ παρειαί, φρίκη δὲ κατὰ

1 τινος codd (τι evan in V): γόνος Band Schn ὀπὸν vel ὀποῦ Buss. in adn. || 7 τὸ ταύτης καὶ edd : τωταυτησκαι vel τετ- V τῶ ταύτης καὶ M καὶ τὸ ταύτης A ὥστε τὸ ταύτης dub. Schn. || 8 ἐκβαλεῖν A: εκβαλειν VM ἐκβάλλειν edd || 10 αὔτη A: αὐτή edd || 13 κεράμεον V: κεράμιον M κεραμεοῦν A || καινὸν A: κενον V.

παντὸς αὐτοῦ τοῦ σώματος χωρεῖ· σπασμοὶ δὲ περὶ τὰ αἰδοῖα σύντονοι γίγνονται, καὶ αἷμα ἀπουρεῖ πολλάκις· νάρκα τε ἐπὶ τούτοις ἴσχει τὰ περὶ τὰ σκέλη, καὶ ἀπὸ τῶν ἰσχίων τοῦτο ἄρχεται τὸ δεινόν. |

f. 416r 725-733 Τοῦ δὲ ἀστερίου τὸ εἶδός ἐστί ~~που~~ τοιόνδε· ποικίλαι κατὰ τοῦ νώτου παντὸς αὐτοῦ διήκουσι γραμμαί· ἔπειτα, ἐὰν προσάψηται ἀνθρώπου σώματι, φρίκην τε καὶ ταύτην λεπτὴν καὶ καρηβαρίαν ἅμα τούτῳ καὶ παράλυσιν τῶν γονάτων ὁ ἀστέριος οὗτος φάλαγξ εἴληχεν ἐμποιεῖν. |

f. 416v Ἀλλὰ μὴν καὶ τὸ κυάνεον οὕτω καλούμενον φαλάγγιον τοιοῦτόν τί ἐστιν τὸ εἶδος οἷον καὶ τὸ χρῶμα κυάνεον· παρέχεται δὲ μέγεθος μὲν οὐδὲν τοῦτο, οὐδὲ ἐστιν βραδύ, καὶ πεφύκασι τρίχες ἐξ αὐτοῦ, καὶ ἐὰν πλήξῃ, τὴν καρδίαν τοῦτο ὀδυνᾶσθαι ποιεῖ, καὶ ὡς νύκτα ὁρᾶν, καὶ ἐπιγίγνεται τοῦ πληγέντος τοῖς κροτάφοις βάρος συνεχεῖς τε ἔμετοι καὶ λεπτοί, καὶ ἐπὶ πᾶσιν ὁ θάνατος τὸν πληγέντα ἴσχει. |

f. 417r 734-746 Ὁ μέντοι ἀγρώστης οὗτος ἔοικε τὴν μορφὴν τῷ λύκῳ, ὁ δέ γε λύκος οὗτος οὐδὲν πλὴν μυίας ἀναιρεῖ, ὁ δὲ ἀγρώστης μελίττας, ψῆνας καὶ μύωπας, καὶ ὅσα τούτων ἀδελφὰ διόλλυσιν γένη. Δρᾷ δὲ οὐδέποτε οὐδὲν δεινὸν ὑπ' αὐτοῦ τὸν πληγέντα ἄρα ὁ ἀγρώστης οὗτος.

Σφήκειον, τὸ καὶ καλούμενον δύσδηρι, τὴν μὲν χροιὰν πυρρόν ἐστι, καὶ ὡς σφηκὸς φέρει· εἰσὶ δὲ οἱ σφῆκες θρασεῖς καὶ τῶν γειναμένων αὐτοὺς ἵππων ἐπαγομένην ἔχουσι τὴν ἀλαζονείαν· ἐξ ἱππείων μὲν γὰρ σφῆκες σωμάτων γίγνονται, τὰς δὲ μελίττας ὁμοίως τὰ τῶν μόσχων ποιεῖ· τὰ δὲ ἔργα ἑκατέρων τῶν γενῶν εἰς ἑκάτερον αὐτοῖν ὁρᾷ τοῖν |
f. 417v γεννησαμένοιν. Τὸ μέντοι δῆγμα τοῦ σφηκείου τούτου φλεγμονὴν γενναίαν ἐπιφέρει, εἶτα τρόμον, ἐπὶ τούτοις καὶ ὀλιγωρίαν, καὶ τὸ μηδὲν ἰσχύειν ἔτι ἐπ' αὐτὸν ἔρχεται, ὅ τε ὕπνος αὐτὸν κατὰ βραχὺ πρὸς ἑαυτὸν ἕλκων τῷ θανάτῳ παραδίδωσιν λεληθότως ἄγειν.

747-758 Ἐχόμενον δὲ δὴ τούτων ἐστὶν ἄλλο φαλάγγιον,

31 sq. ὅ τε Buss : ὅτε Gual sed cf. Sur les Thér. p. 94

καὶ καλοῦσιν αὐτὸ μυρμήκιον, διότι ἐστὶ παρεοικὸς τῷ μύρμηκι τοῦτο· πυρρὸν δὲ ἔχει μὲν τὸν αὐχένα, τὸ δὲ ἄλλο αὐτοῦ σῶμα πᾶν ζοφῶδες τυγχάνει καὶ δείκνυνται ἀστέρες ἐπ' αὐτοῦ· κεφαλὴ δὲ ἄνευ τῶν ἀστέρων ἐοικυῖα δείκνυται τῷ λοιπῷ σώματι. Ἔστι μέντοι αὐτοῦ τὸ δῆγμα ἐπαλγὲς καὶ παραπλήσιον τοῖς τῶν ἄλλων. |

f. 418r Ἐπὶ τούτοις ἐστὶ φαλάγγιον τὸ μὲν χρῶμα κανθάρου παρέχον, ἄλλως δὲ οὐ μέγα· ἐν τῇ Αἰγύπτου περὶ τὰ σπέρματα τούτου πλῆθός ἐστι πολύ, καὶ τοῖς θερίζουσιν ἐμφύεται καὶ ὀδύνην παρέχει τὸ δῆγμα· φλυκταινῶν τε γὰρ ἐπαναστάσεις τὸν δηχθέντα ἴσχουσιν ἰσχυραί, καὶ ἡ καρδία πηδᾷ, καὶ φρονεῖ ἀλλοῖα, καὶ φθέγγεται μανικόν, καὶ οὐ μόνον ἡ γλῶττα τοῦτο, ἀλλὰ καὶ οἱ ὀφθαλμοὶ ὑπόθερμόν τι καὶ μανικὸν τοιοῦτον βλέπουσι.

f. 418v 759-768. Τοὺς κεφαλοκρούστας, οἳ λέγονται, ἡ Αἴγυπτος τρέφει· εἰσὶ δὲ οἱ κεφαλοκροῦσται παραπλήσιοι τῇ φαλλαίνῃ· αὕτη δὲ μεταδιώκει μὲν ἀεὶ τὸ τοῦ λύχνου φέγγος, ἔρχεται δὲ δειπνούντων ἤδε καὶ κατὰ τὴν ὥραν ἐν ᾗπερ ὁ δρόμος ἄρχεται τῆς νυκτός. Ἔχει δὲ ὁ κεφαλοκρούστης τὰ μὲν πτερὰ στενὰ καὶ χλωρά, καὶ οἷα κεκονιμένην τὴν χροιὰν ἔχοντα· κεκονιμένας τοιγαροῦν τὰς χεῖρας ἴδοις ἂν πολλάκις τοῦ προσαψαμένου τοῦ κρανοκολάπτου (οὕτω γὰρ αὐτὸν καλοῦσιν οἱ ἐπιχώριοι). Γεννᾶται μὲν οὖν οὗτος ὑπὸ ταῖς περσείαις, τὴν δὲ κεφαλὴν κεκλιμένην ὡς ἑτέρωσ<ε> ἔχει, καὶ ἐπ' αὐτῆς ἀνέχει τὸ κέντρον, καὶ κρύπτειν αὐτὸ πειρᾶται ὑπὸ τὸν αὐχένα. Βαρύνεται μέντοι τὴν γαστέρα καὶ τὸ πλῆγμα αὐτοῦ εὐπετῶς εἰς θάνατον φέρει |

f. 419r 769-804. Τὰ δὲ δὴ κατὰ τοὺς σκορπίους (λεκτέον γὰρ ἤδη περὶ αὐτῶν τοιαῦτα, ἅττα ἐστίν) κέντρα ἔχουσιν, οἷς παίουσι, καὶ λίαν ἀλγοῦσιν οἱ πληγέντες. Ἔπειτα δὴ f. 419v τούτων ὁ μὲν ἔστι λευκός, βλαβερὸς δὲ ἧσσον. | Ὁ δέ γέ τοι πυρρὸς ὡς ὅτι μάλιστα ἐπώδυνος· τὸ γὰρ πλῆγμα οἷον ἀπὸ τοῦ πυρὸς καιόμενον τὸν πληγέντα εἰς αἴσθησιν ἄγει καὶ

8 ἐν τῇ <γῇ> (del. Αἰγύπτου) Cazz. cl. Ther. 753 ἐν τῇ αἰγύπτῳ A || 24 ἑτέρωσε Buss.: -ρως codd.

φλεγόμενόν τέ ἐστιν ἰδεῖν δεινῶς ὑπὸ δίψους αὐτὸν καὶ ἀπολλύμενον. Ὁ δὲ δὴ τρίτος, ὃν ζοφόεντα κεκλήκασιν, οἶμαι (ἔστι γὰρ τοιοῦτος), μεγάλων ἐμπίμπλησι τοὺς πληγέντας κακῶν· ὀδυνῶνταί τε γὰρ πάνυ σφόδρα καὶ f. 420r παραπαίουσιν οἱ τοιοῦτοι καὶ γελῶσιν πλατύ. | Ἐὰν δὲ ὁ χλωρὸς οὗτος πλήξας τύχῃ τινά, ὄψει δὴ καὶ τοῦτον ἐχόμενον μεγάλῃ μὲν φρίκῃ καὶ οἷον ἀπὸ χαλάζης ἐπαιωρηθείσῃ· ἣν δὲ καί, ὅταν ὁ ἥλιος αὐτὸς ὢν οὗτος ἑαυτοῦ θερμότερος τύχῃ, ὑπὸ τῷ τοῦ σκορπίου τις τῷ τούτου πλήγματι γένηται, οὐκ ἂν μὴ ῥιγῶντα καὶ τοῦτον ὡς χειμῶνος ὄψει. Τὸ μέντοι κέντρον αὐτοῦ κοπίδι ἔοικεν, καὶ ἐννέα εἰσὶ τοῦ νώτου ἄχρι τῆς ἄκρας οἱ σφόνδυλοι. Ὁ δὲ ἐμπέλιος τῶν σκορπίων γαστέρα μὲν μεγάλην ἔχει, ποιηφάγος δέ ἐστιν ἄλλως καὶ σιτεῖται τὴν γῆν· τὸ δὲ τοῦ πλήγματος αὐτοῦ λοιμὸν ἐμποιῆσαι ὁτῳοῦν f. 420v βαρύτατόν ἐστιν. | Σκέψαι δὴ καὶ τοῦτον τὸν σκορπίον ὡς προσφερής ἐστι τῷ καρκίνῳ, οὗ τὴν νομὴν ἴσασιν ὑποδεχόμενοι f. 421r αὐτὸν πολλοὶ τῆς θαλάττης αἰγιαλοί. | Παγούρῳ δὲ ἔοικεν ὅδε τῷ καὶ πετραίῳ καρκίνῳ προσαγορευθέντι ὁ σκορπίος πάντῃ. Βαρεῖται δ' οὖν οὗτος ὑπὸ σαρκῶν, καὶ ἔστι ταῖς χηλαῖς κατάσκληρος, καθάπερ ἐκεῖνος ὁ καρκίνος· μεταβάλλειν γὰρ οὕτως αὐτὸν καὶ σκορπίον ἐκ καρκίνου γίγνεσθαι, ἁλιέων παῖδες ἡμᾶς διδάσκουσι ταῦτα. Ἐπειδὰν γάρ, φασίν, οἱ καρκίνοι ἐναλλάξωσι τὴν δίαιταν, καὶ τῆς θαλάττης καὶ πετρῶν καὶ βρύων τῶν ἐν τῇ θαλάττῃ ἀναγκασθῶσιν ἐκχωρῆσαι (πάσχουσιν δὲ αὐτὸ δικτύοις περιβαλλόμενοι, καὶ ἔξω φέρονται βίᾳ ὑπὸ τῶν τὸν ἰχθὺν δεῦρο ποιουμένων θήραν), ἐν-

9 alt. τῷ VM: om. A || 10 ῥιγῶντα V: ῥιγοῦντα A || ὄψει indicativus pro optativo; an ὄψοιο scribendum? || 12 σφόνδυλοι A: σφόνδολοι V || 14 λοιμὸν codd.: λιμὸν Schn. Gual., sed cf. Sur les Thér. p. 94 || 15 σκέψαι MA: σκεψε V || προσφερής VM: προσεμφερής A || 16 οἱ ante ὑποδεχόμενοι add. A || 18 πετραίῳ edd.: πετραγω VM πετραγῷ A || 20 sq. μεταβάλλειν ... οὕτως αὐτὸν ... γίγνεσθαι, ἁλιέων scripsi: μεταβάλλειν ... οὗτος ... codd. μεταβάλλει ... οὗτος αὐτὸν ... γίγνεσθαι ἁλιέων Gual. μεταβάλλει ... οὗτος αὐτόν ... Schn. μεταβάλλειν τοῦτον αὐτόν ... Buss. || 26 τὸν ante δεῦρο add. Schn., rec. Gual., sed cf. Sur les Thér. p. 94.

ταῦθα ἔξω γενόμενοι καὶ μετασχόντες τῶν ἐν τῇ γῇ, ἔπειτα κατά τινων ἐλθόντες φωλεῶν καὶ δύντες, ἀποθανόντες οὐκ εἰς μακρὰν σκορπίους ἐκ τῶν ἐλύτρων ἀνῆκαν φέρεσθαι τῶν ἑαυτῶν. Λωβῶνται μέντοι τὸ σῶμα, ἥν τινος ψαύσωσιν f. 421v *ἠρκότες τὸ κέντρον* | *Μελίχλωρός ἐστιν σκορπίος καὶ ὀνομάζεται ἀπὸ τούτου· ἔχει γὰρ τὴν χροιὰν κηρίνην καὶ τὸ ἄκρον μελαίνεται τῆς οὐρᾶς. Ἔστι δὲ τὸ δῆγμα χαλεπὸς μὲν πᾶσιν οὗτος, μάλιστα δὲ παισί, καὶ εἰς τὸν θάνατον τοὺς παῖδας παρὰ μικρὸν ἄγει. Οὗτος οὖν ὁ σκορπίος (καὶ γὰρ πτερὰ ἔχει) καθίπταται τῶν πυρῶν, καὶ νέμεται τούτους καθάπερ ἡ ἀκρίς. Τῆς δὲ Καρίας ἐν Πηδάσοις ὁ σκορπίος οὗτος καὶ παρὰ τὸν Κισσὸν ταύτῃ που γίγνεται τὸ χωρίον.* |

f. 422r *805-816. Ἐπίσταμαι δὲ κἀκεῖνο, ὅπως ἂν ἀπέλθοι θεραπευθεὶς καὶ ὁ πληγεὶς ὑπὸ τοῦ βέμβικος. Ὁ γὰρ βέμβιξ οὗτος τυγχάνει μὲν τὸ πλῆγμα ὡς ὅτι μάλιστα ἐπώδυνος, ἀποθνήσκει δὲ παραυτίκα, ὅτι τὸ κέντρον ἐξερύσαι πλήξας ἔτι οὐχ οἷός τέ ἐστιν. Ὥσπερ οὖν οὐδὲ αἱ μέλιτται διαφυγγάνουσι τὸν θάνατον ἀποβαλοῦσαι τὸ κέντρον αὐτίκα τοῦ πλῆξαι, ἀμύνασθαί σφισιν τὸν μελιττουργὸν αὐταῖς ἐπειδὰν δεήσῃ, οὕτως οὐδὲ ὁ βέμβιξ ἄρα τοῦ κέντρου στερηθεὶς ἔτι ζῆν δύναται· ἀνώλεθρος μὲν γὰρ διαμένει περισῴζων αὐτό, ἄκεντρος δὲ ἐπειδὰν γένηται, ὁ θάνατος ἐπιλαμβάνει αὐτόν τε ὁμοίως καὶ μελίττας ἀποβαλούσας ἐν τῷ πλήττειν καὶ ταύ-* f. 422v *τας τὸ κέντρον* | *Οἶδα δὲ ὡσαύτως ἐγὼ καὶ ὁ ἴουλος μὲν ὅπως πλήττει, ὅπως δέ γε ὁ σφήξ, καὶ ἰάσαιτ᾽ ἄν τις ὅπως αὐτά, καὶ τὸ τῆς τενθρηδόνος κέντρον καὶ τὸ τῆς ἀμφικεφάλου σκολοπένδρης δῆγμα, ἥ, καθ᾽ ὁποτέραιν ἂν τρώσασα τύχῃ ταῖν κεφαλαῖν, πολλάκις ἀναιρεῖ. Ἔχει δὲ συνεχεῖς τοὺς πόδας καὶ ἔοικεν ἐρεττομένῃ πολλῶν ὑπὸ κωπῶν ἤδε κινουμένῃ νηΐ.*

7 *χαλεπὸς* Buss.: *χαλεπὸν* codd. ‖ 8 *οὗτος* V: *τούτου* A ‖ 11 *ἐν Πηδάσοις* A: *ἐμπηδασοις* VM ‖ 12 *Κίσσον* Buss ‖ *τὸ χωρίον* codd.: secl. Gual., sed cf. Sur les Thér. p. 94 ‖ 14 *βέμβικος* edd.: *βεμβηκος* VM *βέμβρηκος* A ‖ *βέμβιξ* V p. corr.: *βέμβρηξ* (hic et infra) A ‖ 18 *ἀπὸ* ante *τοῦ πλῆξαι* add. Gual. monente Cazz., sed cf. Sur les Thér. p. 94 et Giangrande, p. 102 ‖ 27 *σκολοπένδρης* V: *-ρας* A

Τυφλὴ δέ ἐστιν μὲν ἡ μυγαλῆ φύσει, ὀλέθριόν τε τὸ ταύτης τοῖς ἀνθρώποις ἐστὶ καὶ ἀναιρεῖ δῆγμα· λόγος δὲ καὶ ταύτην ἀπόλλυσθαι, ἁμάξης ἣν τύχῃ παρελθούσης ἐπιστῇ τοῦ ἴχνους ἡ μυγαλῆ, ὁπόθεν ὁ τροχὸς διέρχεται.

f. 423r *817-827. Περὶ δὲ τῆς σηπός, ἣν οὕτω λέγουσι· ὑπόχαλκός ἐστι τὴν ἰδέαν, σαύρας δὲ οἷον ἂν ἴδοις τῆς σμικρᾶς ἐστι τὸ μέγεθος αὐτῆς καὶ τὸ δῆγμα ὁμοίως πονηρόν. Χαλεπὸν δέ ἐστιν θηρίον καὶ ἡ καλουμένη σαλαμάνδρα· ἀδικεῖται δ᾽ οὖν ὑπὸ πυρὸς οὐδέν, ἀλλὰ ἐν τούτῳ διαιτᾶται καὶ μένει παρὰ τῷ πυρὶ καὶ διεξέρχεται ἀβλαβῶς· καὶ τὸ δέρμα ἡ σαλαμάνδρα πᾶν κατάστικτον ἔχει.* |

f. 423v *Καὶ ὁ βυθὸς τρέφει τῆς θαλάττης ζῷα καὶ λυμαίνεται τῶν ζῴων τούτων τοῖς ἀνθρώποις τινά· ἡ τοίνυν σμύραινα τοῖς ὀδοῦσι κακὰ ἐργάζεται, καὶ οἱ πάσχοντες ὑπ᾽ αὐτῆς εἰσιν ἁλιεῖς τὰ δεινά. Μετὰ γὰρ τὴν θήραν ἐξορμῶσα καὶ οὗπερ ἐτάχθη πολλάκις κατὰ χώραν πλοιαρίου μένειν, ἐμφύει τοὺς ὀδόντας τοῦ ἀσπαλιευτοῦ τῷ σώματι, ἵναπερ ἂν τύχῃ. Λέγεται μέντοι περὶ τῆς σμυραίνης ἄρα καὶ ὅδε ὁ λόγος, ὅτι δὴ τὰς ἐν τῇ θαλάττῃ καταλιμπάνουσα διατριβάς, ἐπὶ τῆς γῆς ἔξω καὶ τὰ τῆς γῆς πάλιν χωρία τρέπεται ἔρχεταί τε εἰς ὁμιλίαν καὶ φοιτᾷ παρὰ τὸν ἔχιν, οἷον ἐρωμένη πρὸς ἐραστήν.* |

f. 432r *828-836. Καὶ μὲν δὴ τὸν πληγέντα εἰς θάνατον ὑπὸ τῆς τρυγόνος ἐπίσταμαι σῴζειν, ἐπίσταμαι δὲ καὶ δράκοντος ἐξαρπάζειν ὕπο τὸν τυπέντα δεινῶς· ἀλλ᾽ οὐκ ἐκείνου τοῦ ἐν τῇ γῇ λέγω δράκοντος, ἀλλὰ τοῦ ἐνύδρου. Πλήττουσι δὲ ἐνσχεθέντων ἐπειδὰν τοῖς δικτύοις ἀπαραφυλάκτως τινές ποτε προσάψωνται τοῖς ἐνύδροις αὐανθείη μέντ᾽ ἂν καὶ φυ-*

5 *σηπός* A, edd.: *σηπιος* V ‖ 6 *σμικρᾶς* VMA: *μικρᾶς* edd. ‖ 16 *ἐξ* ante *οὗπερ* add. Gual. monente Cazz., sed cf. Sur les Thér. p. 94 ‖ 20 *τὰ* ante *τῆς γῆς* add. Gual., sed cf. Sur les Thér. p. 94 ‖ *καὶ ... γῆς* secl. Gual. *καὶ ... τρέπεται* secl. Schn. *ἐπεὶ τῆς γῆς ἔξω κατὰ τῆς γῆς* ci. Buss., sed cf. Sur les Thér. p. 94 sq. ‖ 28 *προσάψωνται* A: *προσαψονται* V ‖ *τοῖς ἐνύδροις* codd. (defendi, Sur les Thér. p. 95): *τῶν ἐνύδρων* ci. Gual.

τὸν καὶ φύλλων ἔρημον κατασταίη, κἂν πάνυ εὖ θάλλῃ, τρυγόνος αὐτοῦ κατὰ τοῦ πρέμνου ἐμπαγέντος κέντρον· ὑπὸ τοῦ ἡλίου πιστεύσειεν ἄν τις αὐτὸ γεγονέναι ξηρόν, ἐνορῶν τοῖς κλάδοις· τὸν αὐτὸν δὴ τρόπον καὶ αἱ τοῦ τυπέντος σάρκες ὑπὸ τῆς τρυγόνος οὐκ εἰς μακρὰν διαφθείρονται. Ἔχει δέ τις λόγος ὧδε καὶ τὸν τοῦ Λαέρτου πληγέντα τρυγόνος {ὑπὸ} θαλαττίας κέντρῳ ὑπὸ Τηλεγόνου ἀποθανεῖν. |

f. 432v *837-847. Καθ' ἕκαστον τοίνυν, ὡς οἷόν τε, <περὶ> τῶν πρὸς ταῦτα βοηθημάτων τοὐντεῦθεν λεκτέον τῶν δυσχερῶν· εἴη δ' ἂν ἔχουσα ἡ ἄγχουσα οἰκείως πρὸς τὴν τῶν δηχθέντων βοήθειαν, ἡ τὰ φύλλα τοῖς φύλλοις τῆς θριδακίνης μιμουμένη, εἰ μετὰ τῆς πενταφύλλου ἐπιλεγομένης λαμβάνοιτο καὶ τοῦ ἐρυθροῦ τῆς βάτου γιγνομένου καρποῦ, ἄρκτιόν τε ἡ βοτάνη καὶ ὀξαλὶς ἥδε καὶ ἡ τὸ ὄρμενον φέρουσα πρὸς τούτοις λυκαψός, κίχαμός τε ἐν αὐταῖς καὶ τὸ ὀρίδαλλον, καὶ ἡ χαμαίπιτυς, τῆς τε δρυὸς ὁ φλοιὸς ἅμα ταῖς ῥηθείσαις εἰ μιγείη, καὶ καυκαλὶς ἔτι μὴν καὶ σπέρμα ὁμοίως σταφυλίνου, καὶ καρπὸς τερμίνθου χλωρὸς καὶ φῦκος ἄβροχον θαλάττιον καὶ τὸ ἀδίαντον καθαρόν· τοῦτο δὲ ἐν ᾧ μὴ ὕει εἰ συμβάλλοις καιρῷ· ὕοντος δὲ τὸ ἀδίαντον ἀπέχου συνάγειν, ἐπεὶ τοῖς φύλλοις ἐνιζάνειν τούτου δὴ ὁ ὄμβρος πέφυκεν.*

848-859. Ἀλλὰ γάρ τοι καὶ τὸ σμυρνεῖον ἀνθοῦν διηνεκῶς οἰκείως ἔχον εὕροις ἂν εἰς τὴν τούτων χρείαν, καὶ τὴν ἀεὶ <τῷ> θέρεσθαι ὑπὸ τοῦ ἡλίου φλεγομένην ἠρυγγίου

1 *εὖ θάλλῃ* A, quod defendi, Sur les Thér. p. 95: *ευθαλλη* VM *εὐθαλῆ* ci. Gual. ‖ 7 *ὑπὸ* seclusi (cf. Sur les Thér. p. 95) cum A: habent VM, edd. ‖ *τηλεγόνου* A: *πηλ-* V ‖ 8 *καθ'* V: om. A ‖ *περὶ* add. Buss. ‖ 10 *δηχθέντων* scripsi (cf. 38, 6 et 47, 15): *λεχθέντων* codd., edd. ‖ 13 *ἄρκτιον* edd.: *αρκτεον* V *ἀρκταῖον* A ‖ 15 *λυκαψός* A: *λύκαψος* edd. ‖ *κίχαμός τε* A: *κιχαμός τε* Gual., sed cf. Nic. Ther. 841 *κίκαμα* ‖ 16 *ὀρίδαλλον* codd. (hapax): *τόρδειλον* Nic. Ther. 841 ‖ 20 *συμβάλλοις* V: *συμβάλοις* A fort. recte, cf. supra, l. 17 *εἰ μιγείη* ‖ 21 *ἐπεὶ* A, quod defendi (Sur les Thér. p. 95): *ἐπὶ* VM, edd. ‖ *τούτου δὴ* A, quod defendi (Sur les Thér. p. 95): *τούτου δὲ* edd. post Schn. *τοῦτο δὲ* VM ‖ 23 *σμυρνεῖον* scripsi ex Nic. Ther. 848 et Alex. 405: *σμύρνιον* A, edd. *σμυρνιον* V ‖ 25 *τῷ θέρεσθαι* A: *θέρεσθαι* V, edd. ‖ *φλεγομένην* codd.: *λεγομένην* Schn.

ῥίζαν. Ἔτι μὴν καὶ ἡ καχρυφόρος λιβανωτὶς ὡσαύτως ὠφελεῖ, καὶ ἀπαρίνη σὺν ταῖς ἄλλαις καὶ ἡ κολυβάτεια καὶ μήκων ὁμοίως ἡ βοτάνη, καὶ ἄλλη θυλακὶς λεγομένη καὶ πεπλῖτις ἄλλη βοηθεῖν ἱκαναί. Κλῶνές τε δὴ κράδης ἀρτιφυεῖς ὅλοι ὄλυνθοί τε ἐρινεοῦ, οἳ πρὸ τῆς ὀπώρας πεπαίνον-

f. 433r *ται, εἰσὶν ἐπωφελεῖς. | Παραληφθείη δ' ἂν ὑπὸ σοῦ εἰς ταῦτα καὶ ἡ πυράκανθος [ἄνθος τε δὴ φλόμου] τῆς βοτάνης αἰγίλοπός τε μετὰ τούτων καὶ χελιδόνιον, δαῦκός τε ὁμοίως, εἶτα πρὸς ταῖσδε δὴ βρυωνίας ῥίζα, ἥ τήν τε ἔφηλιν καὶ τὰς λεύκας τὰς ἀπηχθημένας ταῖς γυναιξίν, ὅτι μιν τοῦ κάλλους παραιροῦνται, <παρὰ τῆς> φύσεως ἔλαχεν ἀπαλλάττειν.*

860-872. Περιστερεὼν δέ τις οὖσα κέκληται βοτάνη καὶ ῥάμνος οὕτω φυτόν τι προσαγορεύεται· τοὺς κλάδους ἅμα τῇδε τῇ βοτάνῃ τῆς ῥάμνου λάμβανε· ἀγαθὴ γάρ ἐστιν οὐ μόνον ἀρήγειν τοῖς δηχθεῖσιν, ἀλλὰ καὶ παντοίας ἄσης σχεδὸν ἀπαλλάττειν ἐστὶ ῥάμνος ἀνθρώπους ἱκανή. Ἔτι μὴν καὶ ἡ παρθένιος, ἐπειδὰν ἐν ἄνθει οὔσης αὐτῆς τοῖς κλάδοις προσχρήσῃ, πρόσφορον γίγνεται εἰς τὸ σῴζειν. Καὶ κίχορον ἄλλη καὶ μίλτος ἑτέρα τις κέκληται βοτάνη. Φύεται δὲ εἰς πλῆθος ἡ μίλτος παρὰ τοῖς Βοιωτοῖς, καὶ ὄνομα τῇδε ἐπιτεθείκασι νηπενθής, ὅτι περιορᾶν οὐχ οἷά τέ ἐστιν ἀνθρώπους ὅλως κρατουμένους λύπῃ, ἀλλὰ ὑπεξάγει τῆς μνήμης τῶν δεινῶν εἰς λήθην ἕλκουσα κατὰ μικρόν, ἔπειτα τὴν ψυχὴν εἰς τὸ τῆς εὐφροσύνης ἀναγοῦσα ἔστησεν πάραυτα χαί-

2 *ἡ* ante *ἀπαρίνη* add. edd. ‖ *κολυβάτεια* edd. (*κολλ-* Buss.): *κολυβατια* (*-τία* A) hic codd. sed *κολυμβατιαν* (*-τίαν* A) in 34, 11 et *κουλυβάτεια* Nic. Ther. 589 et 851 ‖ 3 *πεπλῖτις* (vel *πεπλίς τις* dub. in adpar. cl. Ps.-Diosc. 4, 168) Gual.: *πεπαιτις* codd. (*πεπαιτὶς* A) *κεραῖτις* Buss.; cf. Ther. 852 *ἐπεπλεῖτις* v. l. II; an *πεταλῖτις?* cf. Ther. 864 ‖ 5 *πρὸ τῆς* A, edd.: *πρωτης* VM (an *πρώτης* scribendum?) ‖ 7 *ἄνθος* ... *φλόμου* (*φλομοῦ* M) MA (evan. in V): *καὶ ἄνθος τῆσδε ἄρρενος φλόμου* Schn. *ἄνθος τε δὴν ἄρρενος φλόμου* Buss. in adnot. ‖ *αἰγίλωπός* codd. ‖ 9 *ἔφηλιν* A: *ἐφιλειν* VM ‖ 10 *μιν* V (cf. infra, p. 73, 11, sq. *παραιρούμενός σφε τῆς συμφορᾶς*): *μὴν* MA ‖ 11 *παρὰ τῆς φύσεως* scripsi (cf. infra, 55, 8): *φύσεως* codd. *παρὰ φύσεως* Buss. *ὑπὸ φύσεως* Schn. Gual. ‖ 18 *προσχρήσῃ* A: *-σει* VM ‖ *πρόσφορον* V (cf. p. 39, 11 *ὠφελιμώτατοι*): *πρόσφορος* A ‖ *κίχορον* VM: *κίχωρον* A ‖ 24 *πάραυτα* scripsi: *παρ' αὐτὰ* Gual. *παραυτὰ* Buss.

ρουσαν χωρίον. Ὁ δέ γε ἄγριος σικυὸς πικρὰν μὲν τὴν ῥίζαν τοῖς γενομένοις παρέχεται, τοῖς δὲ διαχωροῦσαν μηδαμὰ ἔχουσι τὴν γαστέρα πάνυ ἐπωφελής· ὑπεκλύει γοῦν ἐπιδοθεῖσα ἡ ῥίζα, καὶ διακαθήρασα τὸν κακοπαθοῦντα ἐπὶ τὸ κατὰ φύσιν αὐτὸν παντελῶς ἤγαγεν, καὶ ὁ καρπὸς τοῦ παλιούρου, ἀλλὰ τοῦ τραχέος, νεωστὶ ἀνθοῦντος, σὺν αὐτοῖς τῆς ῥοιᾶς τοῖς ἄνθεσιν καὶ αὐτοῖς τοῖς φύλλοις, καὶ ὕσγινος ἡ βοτάνη, ὕσσωπόν τε ἐπὶ τούτοις καὶ ὄνωνις πάλιν. Πολύκλωνος δέ ἐστιν ἱκανῶς ἡ ὄνωνις ἥδε καὶ [ἥδεσθαι τοὺς ὁρῶντας αὐτὴν ἀπὸ τούτου ποιεῖ] |

f. 434r *873-880. Ἔστω δὴ καὶ φύλλα τηλεφίου καὶ νεωστὶ πεφυτευμένης ἐν βότρυσιν ἡμερίδος κλῆμα, σπέρμα τε κορίου τῆς ἀγρίας καὶ σκόροδον καὶ ἡ τὰ φύλλα τὰ λεπτὰ ἔχουσα κόνυζα κάρδαμόν τε ἐπὶ τούτοις περσικὸν πῖνε· πίνων γὰρ πείσει φλαῦρον οὐδέν. Ἔστι δὲ πεπερίνου τὸ φυτόν, ἀφ' οὗ τὸ πέπερι· τὰ φύλλα δὴ τούτου κόψας μετὰ πάντων σῶχε. Γλήχων δὲ ἡ πλεῖστα τὰ ἄνθη φέρουσα, καὶ σίνηπι, ἐπί τε τούτοις καὶ ἡ στρύχνος ὁμοίως διασῴζειν ἱκανὰ καὶ ταῦτα τοὺς τρωθέντας ἐστί.*

Ἄγε δὴ καὶ τὸ ἐν τοῖς κήποις αὖθις γιγνόμενον πράσον καὶ σπέρμα κνιδῶν (νῦν ἐγὼ τῆς βοτάνης λέγω, ἐκείνης ἄρα τῆς βοτάνης, ἧς οἱ παῖδες, ἐπειδὰν παίζωσι κατ' ἀλλήλων ἐρχόμενοι, σφᾶς παίουσι τοῖς φύλλοις, καὶ γέλωτα δὴ τὸ ἐντεῦθεν αὐτοί τε ἔχουσιν οἱ παίζοντες καὶ σφᾶς τοῖς ὁρῶσι παρέχουσιν, ὅτι προσαψαμένης αὐτοῖς ὁπωσοῦν οἱ παῖδες τῆς βοτάνης ταύτης γελῶντες ἀνιῶνται δῆθεν).

881-886. Καὶ μέντοι καὶ ἡ λευκοτάτη κεφαλὴ τῆς σκίλλης, καὶ τῶν βολβῶν τὰ ξηρά, καὶ ἧς τὸ ὄνομα δρακοντίας βοτάνης καυλεῖα καὶ ἀσπάραγος, ἣ φύεται πλησίον τῆς ῥάμνου, καὶ αὐτῆς τῆς ῥάμνου ἀσπάραγος, εἶτα καὶ ὁ καρπὸς τῆς πεύ-

7 *ὕσγινος* edd : *υστινος* V || 8 et 9 *ὄνωνις* edd : *ονωνις* VM *ὀνῶνις* A || 12 sq. *κορίου τῆς ἀγρίας*: verbum *κόριον* in neutro solo testatur || 16 *σῶχε* malit Buss : *σῶζε* codd || 21 *κνιδῶν* codd : *κνίδης* ci. Schn., rec. Buss Gual || 27 sqq. verbum quod regat, ut saepe, omittitur.

κης, ὡς ἔστιν οὗτος νεαρὸς καὶ συνεστραμμένος, ἐπαιωρούμενος τοῖς κλάδοις. |

f. 435r *Τυγχάνει μέντοι τις βοτάνη, καὶ τῷ κέντρῳ παρέοικεν ἡ ταύτης τοῦ σκορπίου ῥίζα, ἢ σκορπίου μὲν ὕπο τοὺς τρωθέντας οὐκ ἐᾷ σίνεσθαι, ἀλλὰ θεραπεύει· καλοῦσί γε μὴν σκορπίουρον τὴν βοτάνην τήνδε, ὅτι τοῦ θηρίου τούτου τῷ κέντρῳ ἔοικε τὴν ῥίζαν.*

887-906. Ἑτέρα δὲ πάλιν τυγχάνει κἀνταῦθα βοτάνη, καὶ καλεῖται σίδη. Ὁ καρπὸς ὁ ταύτης κόκκοι εἰσίν, ὑπάρχουσι δὲ ἐρυθροί· καὶ γίγνεται ἡ βοτάνη τῆς Βοιωτίας μὲν ἐν Ψαμάθῃ, παρὰ δὲ ποταμὸν ὃν πρότερον μὲν Σχοινέον οἱ πάλαι ἐκάλουν, Ἰσμηνὸν δὲ οἱ ἐπιχώριοι μετὰ ταῦτα αὐτῷ ὄνομα ἔθεντο· παρὰ τοῦτον φύεται πολλὴ τὸν Ἰσμηνὸν ἡ σίδη. ‹Καὶ› μὴν καὶ ἡ Ἰνδῶν ὁπόσα γῆ καὶ ὁ Χοάσπης ποταμὸς ἀρώματα φέρει σὺν ταύταις μείγνυε, καὶ πιστακίων ἀκρεμόνας (ταῖς σμικραῖς ἀμυγδάλαις ὁ τῶν πιστακίων πως παρέοικε καρπός)· καυκαλίδες τε καὶ μύρτα καὶ ἄρμινθος ἡ βοτάνη καὶ μάραθον χλωρόν· ἔτι μὴν τοῖσδε παρέστω σοι καὶ ἐρύσιμος βοτάνη καὶ τῶν ἀγρίων ἐρεβίνθων ὁ καρπὸς βαλλέσθω σὺν αὐτοῖς τοῖς κλάδοις (ὀδμὴν δὲ βαρεῖαν ὁ ἄγριος οὗτος ἐρέβινθος ἔχει, καὶ ἔστιν ἐπαχθής), σισύμβριόν τε δή, καὶ τοῦτο, ἐπειδὰν ἐν τῇ ὥρᾳ τοῦ ἄνθους γένηται· ὠφελιμώτατον γὰρ τοῖς τρωθεῖσιν καθίσταται λίαν. Ἀτὰρ οὖν δὴ καὶ τὸ μελίλωτον ἐξ ὑπογύου συγκομισθὲν καὶ ἡ οἰνάνθη δὲ {τοῦ ἀνθεῖν}, ἐπειδὰν καὶ ἥδε ἐντὸς ᾖ τοῦ τῆς ὥρας ἄνθους (βοτάνη δέ ἐστιν ἡ οἰνάνθη καὶ φιλεῖται ὑπὸ τῶν αἰπόλων, ὅτι τοὺς αἶγάς ἐστιν, οἶμαι, πιαίνειν ἱκανὴ εἰς τροφὴν παραβαλλομένη τοῖς κτήνεσι τούτοις ἡ οἰνάνθη αὕτη), λυχνίς τε ἅμ' αὐταῖς καὶ θρυαλλίς (βοτάναι δὲ ἄμφω), ῥό-

1 *ὡς* edd : *ως* V *ὃς* M *ἕως* A || *οὗτος* VA: *οὕτως* M || *καὶ* ante *ἐπαιωρούμενος* add A || 11 *Σχοινέον* edd. (*σχοινεον* VM): *σχοίνεον* A || 12 sq. *Ἰσμηνὸν* edd : *σμῆνον* A *σμηνον* VM || 13 *ἔθεντο* A p. corr.: *ἔθετο* VMA a. corr. || 14 *καὶ* add Schn. || *Ἰνδῶν*: *δων* supra *ιν* add. V || *μὴν καὶ ἡ Ἰνδῶν ὁπόσα γῆ* codd : *καὶ μὴν καὶ ὁ Κνῶπος ἄγει* Schn. Buss || *Χοάσπης* edd.: *χοασπης* V *χόασπις* A || 16 *ἀμυγδάλαις* M: *ἀμυγδαλαῖς* A || 25 *τοῦ ἀνθεῖν* om. A, secl. Gual

δον τε δὴ καὶ ἡ τὸν πλεῖστον κομιδῇ καρπὸν κομίζουσα, f. 435v *ἣν ὀνομάζουσι | λευκόϊον, ἐν λόγῳ ὑπὸ σοῦ γιγνέσθω. Ἀλλὰ γὰρ ταττέσθω πρὸς ταῖς οὔσαις καὶ ἡ λεγομένη ψίλωθρον παρ᾽ ἐνίων πόα καὶ ᾗ τὸ ὄνομα ὑάκινθος ἐτέθη βοτάνη ἀνθοῦσα τοῖς ἐν τῇ χρείᾳ τῇ τούτων τυγχάνει προσφερής· φιλοθρηνὴς δὲ ὑπ᾽ ἐνίων ἡ αὐτὴ λέγεται, καὶ τίνος ἕνεκα λέγεται, ἥδε ἡ αἰτία βοᾷ· ὅτι Ὑάκινθον ὁ Ἀπόλλων παίζοντα παρὰ τὸν Εὐρώταν δίσκῳ ἀπέκτεινεν, ἀλλὰ οὐχ ἑκὼν αὐτόν· τοιγαροῦν θρηνεῖται ὑπ᾽ ἐκείνου πολλά, καὶ φιλοθρηνὴς πρὸς τῶν πολλῶν, ὡς ὁ λόγος λέγει, ἐξ ἐκείνου τῇ βοτάνῃ τοὔνομα ἐτέθη |*

f. 436r 907-914. *Ἄγε δὴ μετὰ τῶν λεχθέντων τίθει καὶ τὸ καλούμενον τρίφυλλον καὶ τὸν τοῦ ὀπίου χυλόν· ὁ σταθμὸς τρεῖς ὀβολοὺς ἕλκων ὑπαρχέτω τοῦ ὀπίου τούτου· καὶ τὸν ἐοικότα τῷ κρόκῳ ἕρπυλλον, ὁμοίως καὶ κρῆθμον καὶ χαμαικυπάρισσον ἅμα ἀννήσῳ καὶ σιλφίου ῥίζῃ τρίβων εἰς ποτὸν τοῖς δηχθεῖσιν δίδου. Δίδου δὲ ποτὲ μὲν αὐτὰ μετ᾽ ἀλλήλων μειγνύς, ποτὲ δὲ ἕκαστον καὶ καθ᾽ αὑτὸ πίνειν, καὶ ἄλλοτε μὲν μεθ᾽ ὕδατος, ἄλλοτε σὺν οἴνῳ, ποτὲ δὲ σὺν ὄξει, καὶ ἄλλοτε πάλιν σὺν γάλακτι· ὅπως γὰρ οὖν καὶ μεθ᾽ οὑτινοσοῦν τούτων ὁ λαμβάνων ἔσται, ἕξει τὸ ἀσφαλές.*

915-920. *Ὁδοιποροῦντι δὲ ἢ θηρῶντι ἢ ἐν ὄρει διατρίβοντί σοί που, καὶ ἢ ἐν ἐρημίαις ἢ ἄλλως ἐν ἀνύδροις εὑρεθέντι τόποις ἢν τύχῃ τι τῶν θηρίων τούτων προσψαῦσαν νύγματι, τὰς παρατυχούσας διαμασῶ λαμβάνων βοτάνας· εἶτα τὸν μὲν χυλὸν ἀπόπτυε, τὰ δὲ μασηθέντα ἐπιτίθει ἤδη καὶ κατὰ τοῦ τόπου <οὗ> τὸ θηρίον ἤνεγκεν ἐνταυθοῖ τὴν πληγήν· παῦλά τε γὰρ τὸ ἀπὸ τούτου σοι τῶν ὀδυνῶν ἔσται, καὶ παντελὴς καταλήψεταί σε τῶν λυμαινομένων ἀπαλλα<γή>.*

f. 436v 921-929. *Ἀποφύγοι δ᾽ ἂν καὶ οὕτως ὁστισοῦν ὑπὸ θηρίου*

1 *ἡ* A, rec. Gual.: *τὴν* V, edd. cett. ‖ *κομίζουσα* A: *-σαν* V, edd. ‖ 8 *ἑκὼν* A: *εχων* V ‖ 15 *κρῆθμον* edd.: *κρηθμον* V *κριθμον* M *κρίθμον* A ‖ 19 *δὲ* ante *σὺν οἴνῳ* add. A ‖ 20 *ὅπως γὰρ οὖν* Gual. cl. Isocr. V 7 *ὁπωσοῦν γάρ*: *ὅπως γὰρ ἂν* codd. ‖ 23 pr. *ἢ* om. A ‖ 26 *καὶ* om. A ‖ 27 *οὗ* add. Gual. ‖ 29 *ἀπαλλαγή* A: *απαλλα* V.

πληγεὶς καὶ θεραπευθείη, εἰ ταῖς ὑπὸ τῶν ἰατρῶν λεγομέναις σικύαις ταῖς χαλκαῖς χρήσαιτο, εἶτα ἀθροίσας διὰ τούτων τὸ αἷμα κενῶσαι τὸ δεινόν. Καὶ μέντοι καὶ τῷ τῆς συκῆς εἴπερ εἴης ὀπῷ χρώμενος ἐπὶ τοῦ πλήγματος μεγάλα ὀνήσεις, τούτῳ καταχρίων αὐτό, καὶ σίδηρον πεπυρωμένον ἐπιτιθεὶς κατὰ τοῦ νύγματος· καὶ ἀσκοῦ αἰγείου πεπισσωμένου ποδεών, τὸ σφυρὸν ὁπόταν ἢ ἡ χεὶρ ἢ ἄλλο τι μέρος ᾖ κνισθὲν f. 437r *ὑπὸ τοῦ θηρίου, περιδεσμῶν τούτῳ πάντως ἀπαλλάξει τῆς ἀνίας. Ἐξ οἰνηροῦ τυγχανέτω ὁ ποδεὼν ἀσκοῦ, καὶ ὁ δεσμὸς γεγονὼς πρότερον τοῦ ἀσκοῦ γιγνέσθω τηνικαῦτα δεσμὸς τοῦ τρωθέντος μέρους.*

930-956. *Ἐκμυζηθείη δ᾽ ἂν τὸ δεινὸν κἀνταῦθα ὑπὸ βδελλῶν, εἰ προστεθεῖεν αὗταί γε τῷ τυπέντι τούτῳ· ὠφελήσειε δ᾽ ἂν καὶ χυμὸς κρομμύου καὶ αἰγῶν ὁμοίως τὸν τρωθέντα τὰ περιττώματα, ἐπιχρισθεὶς μὲν δὴ ἄρα ὁ χυμὸς τῷ ἕλκει, τὰ περιττώματα δὲ μετ᾽ οἴνου τρυγίας φυραθέντα ἢ ὄξους καὶ ἐπιπλασθέντα.*

Ἵνα δὴ πάσης ἀμυντικόν γ᾽ ἄσης μαθὼν πρὸς ταῦτα κατασκευάσῃς βοήθημα, λαμβάνων βοτάνας, εἶτα μειγνὺς προσάγῃς ταῖς χρείαις ἐκείναις, ἀναιροῦ ἀριστολόχειαν καὶ τὴν ἶριν, ἐπὶ δὲ ταύταις καὶ τὴν νάρδον (ἔστι γὰρ καὶ βοτάνη νάρδος οὕτω καλουμένη), χαλβάνης τε δὴ ῥίζας καὶ πύρεθρον ξηρόν, δαῦκόν τε ὡσαύτως καὶ βρυωνίαν, ἐπὶ ταύταις γλυκυσίδην τε τὴν βοτάνην καὶ ἐλλέβορόν τοι τὸν μέλανα, καὶ τοῦτον, ἐπειδὰν κατασταίη ξηρός, τό τε ἀφρόνιτρον καὶ κύμινον, κόνυζάν τε δὴ καὶ τὴν ὀνομαζομένην ἀγριοσταφίδα, καὶ δάφνης ἔτι μὴν τὸν καρπόν, καὶ ἧς τὸ ὄνομα βοτάνης κύτισος, καὶ ταύτην μείγνυε σὺν ἐκείναις βάλλων. Ἱπ-

3 *κενῶσαι* edd.: *κενωσης* VM *κενώσει* A ‖ 3 sq. *εἴπερ εἴης* A, rec. Gual.: *ειπερειης* VM *ἢ περσείης* edd. ‖ 6 *ποδεών* VM: *ποδεῶνι* A ‖ 7 *ἡ χεὶρ* Schn.: *τὴν χεῖρα* codd. *μὴν χεὶρ* Gual. monente Cazz. ‖ 8 *ἀπαλλάξει* V: *-ξεις* A ‖ 11 *μέρους* A: *αερους* V ‖ 13 *αὗται* A: *αυνται* V ‖ 14 *κρομμύου* V: *κρομύου* A, rec. Gual. ‖ 15 sq. *περιττώματα* A: *περιπτωματα* V ‖ 16 *τρυγίας* V: *τρυγὸς* A ‖ 18 *δὴ* V: *δὲ* A ‖ *γ᾽ ἄσης* M: *γασης* V a. corr. *ασης* V p. corr. *ἄσης* (om. *γ᾽*) A ‖ 22 *πύρεθρον* MA: *πυραιθρον* V ‖ 25 *ἀφρόνιτρον* V a. corr. A: *αφονιτρον* V p. corr. ‖ 28 *κύτισος* A: *κυτισσος* V ‖ *βάλλων* VM: *βαλών* A

πολειχὴν δὲ λέγεταί τις οὕτω βοτάνη, καὶ ἡ κλῆσις τῶν ἵππων, ὅτι τοὺς λειχῆνας ἥδε θεραπεύειν δοκεῖ (τὸ δ' οὖν μέγεθός ἐστιν αὐτῆς οὐχ οἷα πολὺ τῆς γῆς ὑπερέχειν ἄνω) καὶ κυκλάμινον ἑτέρα μετ' ἐκείνων ἄρα καὶ ταύταις κέχρησο· εἶτα καὶ μήκωνος ὀπὸν καὶ ἄγνου μὴν σπέρμα βάλσαμόν τε δή, καὶ τὸ καλούμενον κιννάμωμον καὶ σφονδύλιον ἅμα ἀλσίν· ὀξύβαφον οἱ ἅλες ἔστωσαν εἰς μέτρον οἱ ἐμβαλλόμενοι ταῖς βοτάναις. Πρὸς τούτοις καὶ λαγοῦ πυτία καὶ ὁ ποτάμιος
f. 437v *{καὶ} καρκίνος ἐμβαλλόμενα εἰς ὅλμον ταῦτα συγκοπτέσθω πάντα καὶ μειγνύσθω καλῶς· ὕπερον δὲ ἔστω ἐλάϊνον, ᾧ δεῖ κόπτεσθαι τὰς βοτάνας, τῷ τε χυλῷ τῆς ἀπαρίνης εἰς κύκλων μέγεθος δραχμιαίων ἀναλαμβάνεσθαι. Ὁ δὲ σταθμὸς ὡσαύτως τούτων τυγχανέτω δραχμῆς· ἡ μέντοι χρεία διδασκέτω τὸ μέτρον ὅσον ἐφ' ἑκάστῳ τῆς δόσεως προσήκει τυγχάνειν. Πίνειν δὲ δεῖ τοῦτο καὶ ταῦτα εἰς οἶνον, καθ' ἕκαστον δὲ ἐκλύειν δεῖ τῶν τροχίσκων ἄρα οἴνου εἰς κοτύλας τὸν χρώμενον δύο.*

957-958. Ἔπη δὲ ταῦτα τῶν Ὁμήρου Νικάνδρου τοῦ Κολοφωνίου ἐν τῷ τῆς μνήμης ἀποτεθῆναι παρὰ σοὶ χωρίῳ μὴ χεῖρον ἔχοντα δεῦρο νομισθείη ποτέ, ὦ Ἑρμησιάναξ.

4 *κυκλάμινον* scripsi (Sur les Thér. p. 96): *σιλιαμιον* vel *ουλιαμιον* V *οὐλιάμιον* MA *κυκλάμιον* dub. Gual. *κυκλάμινος* Schn. Buss. || 6 *κιννάμωμον* V a. corr. A: *κιναμωμον* V p. corr. *κινάμωμον* edd. || 8 *λαγοῦ* V: *λαγωοῦ* A, rec. Gual. || 9 *καὶ* praebet solus V, secl. Buss. Gual. || 10 *ἐλάϊνον* codd. (*ελαϊνον* V), quod defendi, Sur les Thér. p. 96: *λάϊνον* edd. || 16 *τῶν τροχίσκων* V: *τὸν τροχίσκον* A || 17 *τὸν χρώμενον* A, quod defendi, Sur les Thér. p. 96: *των χρωμενων* V *τῶν χρωμένων* edd. || 18 *ἔπη* V: *ἐπὶ* A || *τὰ* ante *τῶν Ὁμήρου* add. Gual. monente Gazz., sed cf. Sur les Thér. p. 96 || *τῶν Ὁμήρου* post *ὦ Ἑρμησιάναξ* trp. Schn. || *τὰ* ante *Νικάνδρου* add. A || 19 *ἀποτεθῆναι* codd., rec. Schn.: *ἀποτεθέντα* Buss. *ἀποτεθείη* Gual. monente Gazz. Cum toto loco (ll. 18-20) cf. Sur les Thér. p. 96 sq. ubi textum codicis V defendi || 20 Post *Ἑρμησιάναξ* praebet V subscriptionem *ΠΑΡΑΦΡΑΣΙΣ ΕΥΤΕΚΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΚ ΤΩΝ ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΩΝ.*

ΠΑΡΑΦΡΑΣΙΣ
ΕΙΣ ΤΑ ΝΙΚΑΝΔΡΟΥ ΑΛΕΞΙΦΑΡΜΑΚΑ

f. 438v **ΙΩΝ ΝΙΚΑΝΔΡΟΥ ΑΝΤΙΦΑΡΜΑΚΩΝ**

ΤΑΔΕ ΕΝΕΣΤΙΝ

Περὶ ἀκονίτου
Περὶ ψιμυθίου
Περὶ κανθαρίδος
Περὶ κορίου
Περὶ κωνείου
Περὶ τοξικοῦ
Περὶ κολχικοῦ
Περὶ ἰξίας
Περὶ ταυρείου αἵματος
Περὶ βουπρήστεως
Περὶ γάλακτος
Περὶ δορυκνίου
Περὶ φαρικοῦ
Περὶ ὑοσκυάμου
Περὶ μήκωνος
Περὶ λαγωοῦ θαλασσίου
Περὶ βδέλλης
Περὶ μύκητος
Περὶ σαλαμάνδρας
Περὶ φρύνου
Περὶ λιθαργύρου
Περὶ σμίλου

ενεστιν (*εν* m. rec.) V ‖ *ψιμυθίου* scripsi: *ψιμιθίου* V ‖ *περὶ γάλακτος* m. rec. ‖ *δορυκνίου* scripsi: *δορυκνιον* VM ‖ *περὶ μήκωνος* m rec ‖ *λιθαρτυρου* V.

f. 439r **ΑΛΕΞΙΦΑΡΜΑΚΑ**

1-11. *Εἰ καὶ μὴ τῆς αὐτῆς εἶναι πόλεως, μηδ' ἔθνους, ὦ Πρωταγόρα, τοῦ αὐτοῦ διεκληρώθημεν, οἴκου τε δὴ καὶ συγγενείας οὐδαμά, καθάπερ ἄλλοις, ἔξεστι τῶν τ' αὐτῶν ἀπολαύειν ἡμῖν (οὐ γὰρ δή ἐστίν τις ὀλίγη κατὰ τὴν 'Ασίαν ἢ τὰς πατρίδας ἡμῶν κομιδῇ διείργουσα χώρα), οἷον ἂν εἴπερ οἴκου τέ σοι καὶ πατρίδος ἦν τῆς αὐτῆς μετεσχηκὼς ἐγώ, περὶ τῶν βοηθημάτων, ὧν φαρμασσομένοις τοῖς ἀνθρώποις εἰς ἐπικουρίαν παρὰ τῆς φύσεως ἐξηύρηται, οὐδὲ ὑποχειρίους συγχωρεῖ τῷ θανάτῳ γιγνομένους ὁπωσοῦν λανθάνειν, διεξελεύσεσθαί εἰμί σοι πάσης σαφῶς προθυμίας ἐντός. Οὐκοῦν οἰκεῖα μὲν τὰ σὰ ταῦτα καὶ ἐν οἷς διαιτᾷ κατὰ τὸ μεσαίτατον τῆς ἄρκτου κείμενα τυγχάνει, ἀπέχει δὲ δινηέσσης ταῦτα οὐ πολὺ θαλάσσης, ἀλλ' ἐστὶ πλησίον, καὶ τὰ τῆς 'Ρέας ὄργια παρὰ τούτοις μένει, ὅ τε τοῦ Ἄττεω γάμος καὶ τὰ ἐπὶ τούτοις, ὅσα παρά σφι τελεῖται, τὸ δὲ ἐμὸν οἰκητήριον ἡ πόλις Κολοφὼν τυγχάνει, 'Απόλλωνος δέ ἐστιν ἄρα παρ' αὐτὴν ἱερὸν Κλαρίου, καὶ τὸ ὄνομα ἀπὸ Κλάρου ἐτέθη τούτῳ τῷ μαντείῳ· ὅτι δὲ ὁ χῶρος οὗτος κλῆρος ἐγένετο τῶν Κρεούσης παίδων 'Ραχίου καὶ Κλάρου, οἱ περὶ τούτων ἡμᾶς σαφέστατα διαγγέλλοντες διδάσκουσι λόγοι.*

f. 440r *12-73.* *'Επιγνώσει δὲ τὴν βοτάνην αὐτίκα δὴ μάλα προσ-*

3 *οὐδαμά* scripsi: *-μᾶ* Band. Buss. *οὐδαμοῦ* Schn. *οὐδ' ἅμα* A ‖ *τ'* VM: om A fort recte ‖ 5 *οἷον* VM: *ἀλλ' οἷον* A ‖ 7 *φαρμασσομένοις* A: *-νων* VM, edd. ‖ 9 *γιγνομένους ὁπωσοῦν* scripsi: *τιγνουσοπωσουν* V *τις γνοὺς ὁπωσοῦν* Buss *γίγνεσθαι εἰς τὸ μηδοπωσοῦν* A ‖ 10 *εἰμί σοι* A: *ημισυ* V ‖ 11 *διαιτᾷ* A: *διαιτα* V *δίαιτα* edd. ‖ 13 *δὲ δινηέσσης* scripsi (cf Nic. Alex 6 *πολυστροίβοιο*): *δεενοις* V *δὲ ἐν οἷς* A, edd.

ενεχθεῖσαν τῷ στόματι τὴν ἀκόνιτον οὕτως ὀνομαζομένην· πικρά τε γάρ ἐστιν ἱκανῶς, καὶ κίνδυνον οὐ τὸν τυχόντα ἐπάγει, ἥν τινι δῷς πιεῖν· παρὰ μέντοι τὸν Ἀχέροντα αὕτη φύεται ποταμόν, αὐτόθι δήπου καὶ πλησίον κατὰ τοῦ χάσματος, ὅθεν πέρ φασι τὰς ψυχὰς διαπορθμεύειν τὸν Θάνατον, καὶ ὁ θεσμὸς τὴν ὑπεισελθοῦσαν καθάπαξ τὸ στόμιον λέγει πάλιν χωρεῖν μηδέν. Δείκνυνται δέ γε παρὰ ταῦτα καὶ αἱ τοῦ Λύκου παιδὸς Πριολάου πόλεις, ὡς εἰσιν ἔρημοι, καὶ οἶκοι, παρ' οὓς ἀκόνιτος ἡ βοτάνη ἐνταῦθα φυομένη ἐστίν. Δῆσαι δὲ ἱκανὴ τὰ χαλινὰ τό τε πᾶν στόμα γίγνεται ὁμοίως ἥδε τοῦ πιεῖν λαχόντος, στύψις τε τὰ οὖλα καρτερὰ πρὸς τούτοις καὶ ἅμα τῇ γλώττῃ τὸν οὐρανὸν σφοδρῶς ἐμπεσοῦσα λυπεῖ· ἐπειδὰν δὲ καὶ τῶν ἐντὸς τοῦ στήθους τὸ δεινὸν ἅψηται, τὸ μὲν πρῶτον λυγμὸν ποιεῖ καὶ ἀμηχανίαν, εἰς τὸ ἀλύειν τε αὖ καὶ ἀδημονεῖν οὐχ ἁπλῶς ἄγει τὸν πάσχοντα, ὅ τε δὴ στόμαχος ὀδυνᾶται καὶ μάλιστα δὴ ἔνθα εἰσὶν αἱ τούτου λεγόμεναι παρὰ πάντων πύλαι. Ἀλλὰ μὴν καὶ τὸ λοιπόν, ὅθεν περ δίεισιν ἡ τροφή, ἄκλειστον, ὥς φασι, χωρίον διὰ παντὸς μένον, τῶν πόνων ἐπιτριβόντων αὐτὸ καὶ τῶν ἀλγηδόνων, αὐτῇ τε τῇ γαστρὶ τὴν ἄσην καὶ τῷ κάτω παρέχειν ἐντέρῳ φλεγμονὴν πέφυκεν· τινὲς τοῦτο κῶλον προσαγορεύουσι τὸ ἔντερον, ἀρχὴ δέ ἐστι μὲν τοῦτο τῶν κάτω τοῦ ἀνθρώπου μερῶν, ἔχει δὲ ὁμοίως καὶ τοῦτο πύλας τὸ μόριον· ἀρχὴ μέντοι τῆς δοχαίης ταύτης (καὶ γὰρ οὕτως οἶμαι τόδε ὀνομαζόμενον ἐπίστασθαι) ὁ στόμαχός ἐστιν, ὅτι δέ γέ ἐστι καθάπαξ ἥδε
f. 440v δεκτική|σιτίων, καὶ παρὰ ταύτην φέρεται τὰ ἐσθιόμενα, αὐτὴ τοῦ ὀνόματος ἡ κλῆσις μαρτυρεῖ. Ἀλλὰ γὰρ ἐπακολουθεῖ τῆς ἀκονίτου τοῖς πιοῦσιν ἀπὸ μὲν τῶν ὀφθαλμῶν φέρεσθαι καὶ ἀποστάζειν ὑγρὸν πλῆθος αὐτῶν πολύ, ῥέεσθαι δὲ καὶ τὴν γαστέρα, πνευμάτων τε ἐν αὐτῇ γίγνεσθαι διαδρομὰς συχνάς, ἃ καὶ στηρίξαντα πολλάκις περὶ τὸν ὀμφαλὸν αὐτόν, ἀσχέτους τὰς ὀδύνας πέφυκεν ἐμποιεῖν, βαρύτης τε δεινὴ τῆς κεφαλῆς ἐπὶ τούτοις, καὶ τῶν κροτάφων

19 φασι A: φησι V || 30 ὑγρὸν V: ὑγροῦ A.

παλμὸς ἀνύποιστος κρατεῖ, ὁρᾶν τε οἱ τῶν τοιούτων ὀφθαλμοὶ δοκοῦσιν οὐ κατὰ τὰ αὐτά, οὐδ' ἧπερ προσήκει τοῖς ὁρῶσιν, ἀλλ' ἐνηλλαγμένως· τὸ γοῦν αὐτὸ καθ' αὐτὸ πολλαπλοῦν νομίζει, καὶ τὰ δύο ὁρῶν οἴεται τέσσαρα, ὥσπερ ἂν ἔξοινός τις ὢν οὗτος καὶ κραιπαλῶν τύχῃ, οἷα μὲν λέγουσι τοὺς τῷ Διονύσῳ στρατεύοντας τοὺς Σιληνοὺς δῆτα ἐπιτελεῖν, τρυγῶντας καὶ ἐμφορουμένους οἴνου καὶ ὑπαφρίζοντας, ἔπειτα διαλυομένους οἷον καὶ λυγιζομένους τὸν αὐχένα καὶ παρασυρομένους τὴν φωνήν, μεθυσθέντας τε αὐτοὺς ὑπόθερμον βλέπειν, καὶ κεῖσθαι οὐκ ἐν κόσμῳ ἐπὶ τοῦ ἐδάφους, ὄντας τῶν φρενῶν ἐρήμους· τοιαῦτα ἄττα καταλαμβάνεσθαι ποιοῦντας τοὺς τῇ βλάβῃ περιτυχόντας εὔροις ἂν τῇ τοῦ ἀκονίτου. Λέγεται δ' οὖν ἡ αὐτὴ καὶ μυοκτόνον ἡ βοτάνη, διότι δὲ λέγεται, καὶ τοῦτο ἡ αἰτία δηλοῖ, ὅτι τοὺς ἀχρειοτάτους ἀναιρεῖν δοκεῖ καὶ λίχνους καὶ δυσέργους μῦας, ἣν αὐτῆς γεύσωνται· ἀλλὰ μὲν δὴ καὶ παρδαλιαγχὲς ἥδε παρ' ἐνίων προσαγορεύεται, ἐπεί τοι καὶ ταύτῃ τῇ βοτάνῃ πρὸς ἀναίρεσιν τῶν θηρίων οἵ τ' αὖ αἰπόλοι καὶ ποιμένες καὶ νομῆς τῶν βοῶν ἔν τε τῇ Φαλάκρᾳ καὶ τῇ Ἴδῃ τοῖς ὄρεσι κεχρῆσθαι δοκοῦσι· ἄλλως τε δὴ|
f. 441r καὶ παντὸς θήλεος ἥδε ἐντεθεῖσα μορίῳ ζῷον ἀποθνήσκειν ποιεῖ ἡ βοτάνη αὕτη, ἧς ἐστι τοὔνομα ἀκόνιτον. Τὸν τοίνυν πονηρῶς ποτε ἐκ ταύτης ἔχοντα ἰάσει, μεστὴν κονίας μὲν ποιήσας μέτρῳ τὴν σεαυτοῦ χεῖρα, ὡς οἷόν τε δέ γε μάλιστα, καταλειωθείσης· κοτύλη δὲ οἴνου καὶ ταῦτα μέλανος ἐπίμεστος μέτρον ὑπαρχέτω, εἰς ὃ τὴν χεῖρα τῆς κονίας ταύτης ἐπιβάλλειν σε χρή, ἀβροτόνου τε δὴ καυλεῖα ἐν θάμνοις ἐπιτυγχανούσης, πρασίου τε ὁμοίως τῆς καὶ μελιφύλλου καλουμένης· ἀλλὰ μὴν καὶ τῆς ἀγήρω καὶ ἀεὶ θαλλούσης χαμελαίας βλαστούς, καὶ πήγανον σύμπασι τούτοις κομίζων ἔμβαλλε. Ἀτὰρ οὖν δὴ διάπυρον πάνυ σφόδρα ἐμ-

14 ἡ βοτάνη A: ηοταν (ηβοτανη) sic V || 23 πονηρῶς scripsi: πονήρως A, edd || 26 ὑπαρχέτω, εἰς ὃ A: υπαρχετωεισο V ὑπαρχέτω· εἴσω perp leg. et dist. edd. || 30 σύμπασι dub. scripsi: συμπασι V σὺν πᾶσι MA, edd

βάλλων μέλιτι σβέννυε σίδηρον, καὶ τὴν ἐν ταῖς καμίνοις τῶν σιδηρέων γιγνομένην τρύγα, ἣ σκωρία κέκληται, φέρων δὴ σὺν τούτοις, καὶ ταύτην μείγνυε, χρυσόν τε αὖ πεπυρωμένον καὶ ἄργυρον, σφόδρα τῷ πυρὶ καὶ τοῦτον προσωμιληκότα, ἐμβάλλων σβέννυε τῷ μέλιτι· εἶτα δὴ τὴν χεῖρα εἰς ἥμισυ τῶν φύλλων πλήσας τῆς συκῆς χαμαιπίτυός τε τῆς ὀρείας, καὶ ταύτης τὰ φύλλα αὐανθείσης μέντοι, τῆς τ' αὖ ὀνίτιδος ὁμοίως καὶ πολυκνήμου τῆς βοτάνης τοὺς κλῶνας, ὥς εἰσιν νεαροί, τετράδι κυάθων οἴνου γλυκέος μειγνύων ἀναιροῦ. Ἄγε δὴ καὶ καθεψηθείσης πάνυ σφόδρα, σχεδόν τ' αὖ διαλυομένης ὑπὸ πυρὸς τὸ ὕδωρ ὄρνιθος τῶν ἐν ποσὶν δήπου καὶ ἐν ταῖς οἰκίαις ἀναστρεφομένων, ἤτοι νεοττῶν γε, ὧν τρέφουσιν αὗται, ἑψηθέντων καὶ τούτων, τὸ ὕδωρ κιρνῶντα δεῖ πίνειν μετὰ τοῦ μέλιτος· ἀλλὰ μὴν καὶ τῶν βοΐων καθεψηθέντων κρεῶν αὐτῇ πιμελῇ τὸ ὕδωρ ἄδην πινόμενον τοῖς
f. 441v *ἄλλοις ὁμοίως ὠφελεῖ.| Δύναται δὲ δὴ τὰ αὐτὰ καὶ μιγὲν βάλσαμον γάλακτι, νῦν μέντοι τετοκυίας πώλου ὑπαρχέτω γάλα, ἀλλ' ἥν τις αὐτὸ πιεῖν μὴ παραιτήσηται, ὀνίνησι σφόδρα· δεῖ δὲ καὶ ὕδατος ἐπιπίνειν εἰς τοσοῦτον τούτοις, εἰς ὅσον ἂν πᾶσαν ἀπεμέσας τις τὴν τροφὴν τὸ δεινὸν δυνηθῇ διαφυγεῖν. Ἀλλὰ γὰρ καὶ ἡ πυτία πρὸς τούτοις χρήσιμος τοῦ λαγωοῦ, καὶ μετά τοι ταύτην ἡ τοῦ νεβροῦ, ἀμφότεραι μέντοι φυραθεῖσαι οἴνῳ, ἑκατέρα καὶ καθ' αὐτὴν ὑπάρχει χρήσιμος. Ἀλλ' οὖν καὶ ἡ ῥίζα τῆς μορέας πρότερον ἐν ὅλμῳ συντριβεῖσα, εἶτα ἑψηθεῖσα, ἐφ' ὅσον οἷόν τε, μετ' οἴνου δίδοσθαι, μέλιτος προσπλακέντος αὐτῇ, τοῖς πάσχουσιν ὀφείλει· ὅπως γὰρ ἂν δόξῃ τις οὖν ὑπὸ τοῦ δεινοῦ κεκρατῆσθαι, χρησάμενος τοῖσδε δὴ τοῖς βοη-*

1 *σίδηροι* A: *σίδερον* V ‖ 6 *πλήσας* Schn.: *ποιήσας* V ‖ 6 sqq *ὀρείας τῆς τ' αὖ ὀνίτιδος ὁμοίως καὶ ταύτης τὰ φύλλα αὐανθείσης μέντοι, καὶ πολυκνήμου* trp Schn. Buss. ‖ 8 *ὡς* codd: *ὅτ'* ci. Schn., rec. Buss ‖ 10 *δὴ* Schn: *δὲ* codd. ‖ *τ' αὖ* scripsi: *ταγυ* V a. corr. *ταυ* V p. corr. *ταχὺ* perp. leg. edd. cum A ‖ 15 *αὐτῇ πιμελῇ* V: *αὐτῇ τῇ πιμελῇ* Buss. ‖ 16 *τὰ αὐτὰ* scripsi: *ταautα* V *ταῦτα* A, edd. ‖ 27 *ὀφείλει* A: *ὀφίλει* VM *ὠφελεῖ* perp. leg. edd.

θήμασιν ἄρα τὸ ἀσφαλὲς ἕξει, καὶ σῶος ἀπελεύσεται χρώμενος οἴκαδε τοῖς ἑαυτοῦ ποσίν.
f. 442r 74-114 *Μετὰ ταῦτα τοίνυν λέγεσθαι χρὴ καὶ περὶ ἧς ἐναπομόργνυται τὸ ψιμύθιον τοῖς ἀνθρώποις πινόμενον βλάβης· λωβᾶται γὰρ αὐτῶν τὴν ὑγίειαν, καὶ τοῦ βαδίζειν ἄρα αὐτοὺς ἐμποδὼν ἵσταται· ἔοικεν δὲ δήπου τὴν γοῦν χροιὰν ἐν ὥρᾳ ἔαρος φαινομένῳ γάλακτι τὸ ψιμύθιον δὴ τοῦτο καὶ ἐπαφρίζοντι, ὁπόταν ᾖ κατὰ πέλλας· ἐν τῇδε δείκνυται τῇ ὥρᾳ τροφιμώτερόν τε ὂν ἅμα καὶ διαυγέστερον ἑαυτοῦ, καὶ ἐν τῷ ἄγγει ἔτι περιόν, ᾧ ἂν ὁ βδάλλων αὐτὸ ἐκ τοῦ παραχρῆμα δεξάμενος ᾖ· τούτῳ δὴ τὸ ψιμύθιόν ἐστι προσφερὲς τὸ εἶδος. Ἀλλ' οὖν ἐνταῦθα τοῦ πιόντος τὸ μὲν πρῶτον ῥυσοῦται τὰ οὖλα, ὀπὸ[ς δέ] τις κατὰ τῶν γενύων οἷον συνίσταται, πολὺς ἐπὶ τούτοις ἀφρὸς ἐπιπεπλασμένος, ὅσπερ οὖν καὶ οὗτος δακνώδης κατ' αὐτῶν ὁρᾶται τῶν στομίων, ἥ τε γλῶττα ὑποφλεγομένη ξηρὰ καθίσταται, καὶ τὸ φθέγμα πρόεισι τετριγὸς καὶ βαρύ, τά τε λεγόμενα παρίσθμια αὐαινόμενα κατὰ πολὺ τοῦ κατὰ φύσιν ἐνεργεῖν εἰς λήθην ἔρχεται, βήξ τε ἐπιγενομένη καρτερὰ καὶ οὔτε ἠρεμεῖν συγχωροῦσα τῷ κακοπαθοῦντι διὰ τὴν κατὰ τοῦ στήθους στηριχθεῖσαν ἐκ τῆς βηχὸς ὀδύνην ἄσχετον, οὔτε ἀναφορὰν τοῦ φλέγματος λεπτοτάτου λίαν καὶ σχεδὸν ἀποίου τυγχάνοντος ῥᾳδίαν συγχωροῦσα γίγνεσθαι ἐπὶ τὴν ἀπὸ τοῦ ἐμεῖν μὲν δοκεῖν ταλαιπωρίαν, μηδὲν δὲ ἀλλ' ἢ καὶ*

5 *ὑγίειαν* edd: *ὑγείαν* VMA ‖ 6 *δήπου* MA: *δητου* V ‖ 7 *ψιμύθιον* A semper: *ψιμιθιον* V sed *ψιμυθιον* infra, l. 11 et p. 60, 6 *ψιμμίθιον* edd. ‖ 8 *πέλλας* edd.: *αλλας* V *ἄλλας* A ‖ 9 *τε ὂν ἅμα* A: *τεονομα* V *τ' ὄνομα* perp. leg. edd. (*ἅμα* pro *ὄνομα* malit Buss.) ‖ 10 *καὶ ἐν* codd.: *κἂν ἐν* edd. ‖ *ἔτι περιόν, ᾧ* A: *ἔτι περι ἐν ᾧ* M *ετιπεριενω* V *ἔτι περ ᾖ, ἐν ᾧ* edd. ‖ 11 *ᾖ* A, edd.: om. VM ‖ *τούτῳ* VA: *τοῦτο* M ‖ 13 *ῥυσσοῦται* Schn: *ῥυποῦται* codd. fort. recte ‖ *ὀπὸς δέ τις* A: *οπο[ ]τις* V *ὅπως δέ τις* M *ῥύπος τέ τις* ci. Buss. ‖ 15 *ὅσπερ* Buss.: *ὥσπερ* codd. ‖ *οὗτος* codd.: *αὐτὸς* Buss. ‖ 19 *ἐπιγενομένη* VM: *ἐπιγιν-* A ‖ 21 *τοῦ στήθους* A: *τοὺς σθητοὺς* M *τουσθη[ ]ους* V ‖ 23 *συγχωροῦσα* A, Schn: *-ρούσης* VM, Band. Buss. ‖ 24 *μηδὲν δὲ ἀλλ' ἢ* A: *μηδὲν δε [.] καὶ* V *μηδὲν δ' ἀναφέρειν* ci. Schn.

κακοπαθεῖν, τὸν ἄνθρωπον ἄγει. Ἄγει δ' οὖν ἐπ' αὐτοῖς τὸ φάρμακον καὶ τοῦτον πρὸς ὕπνον, καὶ ἀποψύχεται ὁ μετασχὼν αὐτοῦ, καὶ τὰ μέλη τοῦ κινεῖσθαι, ὥσπερ τὸ πρότερον, ἐκ τοῦ κατὰ φύσιν ἀφαιρεῖται, καὶ τὸ ἐντεῦθεν ὁ θάνατος f. 442v τὸν κάμνοντα ἄγει. Παρα|χρῆμα τοίνυν τῷ βληθέντι τῇ ἀπὸ τοῦ ψιμυθίου ἐπιβουλῇ ἐνταυθοῖ τις ἐπιπίνειν ἔλαιον διδότω, τὸ δὲ ἔλαιον ἐξ ὀρχάδος ἢ πρημαδίας ἐλαίας ὑπαρχέτω· τοῦτο εἰς τοσοῦτο μέντοι πινέτω τὸ ἔλαιον οὗτος, ἐς ὅσον ὄλισθον ἡ γαστὴρ ὑπομείνασα ἐξελάσαι τῶν ἐντέρων τὸ συστραφὲν δυνήσεται κακόν. Ναὶ μὴν καὶ γάλακτος ἡ πόσις, ἀλλὰ τοῦ προσφάτου, πρὸς τόδε ὠφελεῖ· ἡ γὰρ δὴ τοῦ παλαιοτέρου ἐστίν, οἶμαι, λαμπρῶς ἀνωφελής. Καὶ τὸν χυλὸν ναὶ μὴν τῆς μαλάχης παρεγγύα πίνειν ὡς πλεῖστον τοῖς φλαύρως ἔχουσι καὶ κατειλημμένοις ὑπὸ τούτου, ἢ καὶ σήσαμα κατακόψας καὶ λειήνας αὐτὰ δίδωθι μετ' οἴνου· καὶ γὰρ πινόμενα τυγχάνει λυσιτελέστατα πρὸς ὑγίειαν. Ἀλλὰ μὴν καὶ ἡ τῶν κλημάτων τῆς ἀμπέλου τέφρα ἐστὶν ἐπωφελὴς θερμῷ μὲν ὕδατι πλυθεῖσα, διηθηθεῖσα δὲ ἐπιμελῶς ὡς ὅτι μάλιστα, καλαθίσκος δὲ ὑπαρχέτω ὁ ταύτην διηθῶν τὴν τέφραν καὶ ἀποκαθαίρων, ἤ τις ἠθμὸς τυχόν, ὅστις ἐπισχεῖν τὴν ὕλην τὴν ἀπὸ ταύτης δυνήσεται, καί σφι μετ' ἐλαίου τὴν ἰλὺν συναναμειγνύων κέχρησο πρὸς τὰ προκείμενα. Ῥύεται δὲ τοῦ κακοῦ τούτου καὶ ὁ ξηρὸς δήπου τῆς περσείας καρπός,

1 κακοπαθεῖν A: -πάθειαν VM || τὸν ἄνθρωπον VA, edd : τῶν ἀνθρώπων M, Band. || pr. ἄγει V: ἄγειν Band || 2 τοῦτον MA: του [ ] V τοῦτο leg. edd. || 6 ἐνταυθοῖ scripsi: ενταυθαοι VM ἐνταῦθά οἱ A ἐνταῦθ' ἀεὶ perp leg edd || 8 τοῦτο codd : perp. del. Buss. || τοσοῦτο codd : -τον perp. leg edd. || 11 ὠφελεῖ VA, Schn Buss : -λεῖν M, Band. || 12 λαμπρῶς ἀνωφελής scripsi: λαμπρως ωφελης VM οὐ λίαν ἐπωφελὴς AG, rec. Buss λαμπρῶς ἀφελὴς Band || 15 λειήνας A: λιήνας VM λεήνας perp leg edd || δίδωθι A: δίδοθι VM, perp. edd. || 16 ὑγίειαν edd.: ὑγείαν VMA || 18 διηθηθεῖσα A: διηττηθεῖσα V, Buss. διυλιθεῖσα Band. διυλισθεῖσα Schn. || 20 τυχόν codd : τυχών edd., τυχόν malit Buss. || ὕλην codd., Band Schn.: ἰλὺν ci Buss. || 23 δήπου scripsi: δητου V δὴ τοῦ MA δὴ τῷ perp leg Band et Schn δὴ (del τῷ) ci Buss. || περσείας edd : περσίας VM περσέας A semper

περσείας ἐκείνης, ἣν ὁ Περσεὺς ἐξ Αἰθιοπίας μετὰ τὸ τὴν τῆς Μεδούσης ἐκτεμεῖν κεφαλὴν τῇ χρυσῇ ἅρπῃ χρησάμενος ἤγαγεν εἰς Μυκήνας καὶ κατεφύτευσεν, Κηφέως δωρησαμένου, ὃς τότε βασιλεὺς τῶν Αἰθιόπων ἐτύγχανεν, τῷ Περσεῖ τὸ φυτόν· πλησίον τοίνυν ἐστὶ τῶν Μυκηνῶν ὄρος, ὃ καλοῦσιν οἱ ἐπιχώριοι Μέλανθον, καὶ κρήνη ἐν αὐταῖς Μυκήναις, ἀλλὰ καὶ ταύτην τοι Λαγγείαν ἐπονομάζουσι τὴν πηγήν, ἔνθα δὴ καὶ τὸ τῆς θήκης ἄκρον, ὃν μύκην καλοῦσιν,| f. 443r αὐτὸς ἧς ἔφερεν ἅρπης ὁ Περσεύς, ἐκπεσεῖν λέγεται. Γενέσθαι μέντοι λέγουσι τὸν κατάτρητον μύκην παιδὸς τοῦ Δανάης πρὸς τροφὴν μέλοντος. Ὠφελήσειε δ' ἂν τὸν τοιοῦτον καὶ τοῦ ἐν Γέρρῃ τῇ Ἀράβων χώρᾳ γεωργουμένου λιβανωτοῦ ἐπιπασθέντος δηλαδὴ ὀπτηθείσῃ τροφῇ καὶ δοθείσῃ ταχύ· ναὶ μὴν ἀλλὰ καὶ δάκρυον καρύας τοῦ φυτοῦ καὶ μέντοι καὶ τοῦ ἀταλύμνου ⟨τοῦ καὶ κοκκυμήλου⟩ (οὕτω δὴ τοῦτο τὸ φυτὸν ἀτάλυμνον προσαγορεύεται), ἀτὰρ δὴ καὶ τὸ τῆς πτελέας ἐπιβάλλων ὑγρόν, ὃ δὴ καταρρέον τῶν ὀσχέων αὐτῆς οὐκ ἔστι χαλεπὸν θεάσασθαι, ἐπιφέρων ταῦτα τῷ κάμνοντι πίνειν ἐπίτρεπε· ἐμῶν τε γὰρ οὗτος ἀπὸ μὲν ἐνίων τῶν τοιούτων, ἀπὸ δὲ τοῦ τοῖς ἑψητοῖς ἐντυγχάνειν ὑδα-

4 τῶν codd : ὧν τῶν Schn. Buss. ὧν pro τῶν ci Band. || 5 Μυκηνῶν A, edd : μυκητων VM || 6 αὐταῖς Μυκήναις codd.: αὐταῖς ταῖς Μυκήναις edd || 7 Λαγγείαν scripsi: Λαγγίαν codd , edd || 8 ἄκρον, ὃν scripsi: ακρονον V ἄκρον, ὃ A fort recte ἄκρον edd. || 10 τὸν κατάτρητον scripsi: τον κατατρετον V τὸν κατατρετὸν perp. edd. τὴν κατὰ τὸν A || παιδὸς τοῦ scripsi: παιστεινου vel παιστεικου V παιστετοῦ M παῖδα A παῖς τε τῆς perp leg edd παιδὸς τῆς malit Buss. || 11 πρὸς τροφὴν μέλοντος scripsi: πρὸς τροφὴν (τροφη M) μέλλοντος VM, edd. ἐκεῖσε τροφὴν (om μέλλοντος) A || τὸν VM: τι τὸν A || 15 ἀταλύμνου MA: αταλυμινου V || τοῦ καὶ κοκκυμήλου addidi || 15 sq οὕτω δὴ τοῦτο ... προσαγορεύεται VA: τοῦ οὕτω λεγομένου φυτοῦ τοῦ καὶ κοκκυμήλου προσαγορευομένου Buss. cum G || 17 ἐπιβάλλων codd : ἔτι μᾶλλον Buss. cum G || ὃ codd : ὅπερ Buss cum G || πολὺ ante καταρρέον add. A G, edd || καταρρέον τῶν ὀσχέων αὐτῆς οὐκ codd.: καταρρέει ἀπὸ τῶν αὐτῆς ὠσχῶν ἤτοι κλάδων οὐκ Buss. cum G || 18 post θεάσασθαι commate distinxi: puncto dist Buss. || 19 τε codd : perp. om. edd.

τίοις καὶ πίνειν ἕξει διαφορούμενος τὸ ἀσφαλές, καὶ ἄλλοτε μὲν ἐσθίων καὶ ἱδρῶν, ἄλλοτε δὲ πίνων τὸν δυσώνυμον ἂν οὕτω τοῦτον καὶ ἄδοξον διαφύγοι ῥᾳδίως θάνατον.

f. 443v 115-156. Κανθαρίς ἐστι σιτοφάγος, καὶ τὸ ὄνομα αὐτῇ ἐπίκειται ἀπὸ τοῦ πράγματος, ὄδωδεν δὲ βαρὺ μὲν αὕτη καὶ οἷον ἡ πίσσα, οἷα δὲ τὰ τῆς κέδρου κάρφη φαίνεται τῷ μασησαμένῳ, τοιαύτη καὶ ἡ τῆς κανθαρίδος ποιότης ὁτῳοῦν ἀπαντᾷ. Τῷ ἐκ ταύτης μήποτε γένοιτο πόματι κατεσκευασμένῳ ἐντυχεῖν ἀνθρώπῳ· ἅμα τε γὰρ προσενεχθῇ τὸ ἐξ αὐτῶν ποτὸν κατεσκευάσμένον ἀνθρώπου χείλεσιν, αὐτίκα δὴ καὶ παραχρῆμα δριμυτάτης ὀδύνης ἐμπίμπλησιν αὐτά, προϊὸν δ' ἐπὶ τὰ εἴσω κατεσθίει πάντα, τὸ στόμα, τὸ στῆθος, τὴν γαστέρα, κατὰ τῆς κύστεως χωρῆσαν εὐθὺς ἐκβιβρώσκει αὐτήν· ἐκ τούτου ἵστανται ὀδύναι πολλαὶ καὶ χαλεπαὶ περὶ τὸν χόνδρον, ὃν οὕτω λέγουσιν· ἔστι δὲ ἔντερον ὁ χόνδρος, ὃ πλησίον μὲν αὐτοῦ που τοῦ θώρακος κεῖται, πρὸς αὐτῷ δὲ τῷ κύτει τῆς γαστρὸς ἠρεμεῖ· ἀλύει δ' οὖν τὸ ἐντεῦθεν, ὑπό τε ἀμηχανίας καὶ φροντίδων ἀπροσδοκήτων οὐ συγχωρούμενος ἡσυχάζειν, ἀλλ' οἷα δή φασι τῶν κιναρῶν τὰς ἐκγήρους καὶ παλαιὰς γεγενημένας ἐφ' αὐτῶν γήρεια κομίζειν (καλοῦσιν, οἶμαι, αὐτὰ πάππους· ὑπὸ τῶν ἀνέμων οὗτοι πανταχοῦ ὁρῶνται κινούμενοί τε οἱ πάπποι καὶ ῥιπιζόμενοι τοῦ ἀέρος), τοιαῦτα ἄττα μοι δοκεῖ καὶ ἡ γνώμη διακοπτομένη τοῦ ἀνθρώπου τοῦ πιόντος πάσχειν καὶ μεριζομένη τὸ φάρμακον ὑπὸ τῶν φροντίδων. Πληρεστάτην τοίνυν κύλικα ποιήσας τοῦ λεγομένου κυκεῶνος δίδωθι πιεῖν ἀσίτῳ τῷ ταύτης ἐντὸς γενέσθαι λαχόντι τῆς κακοπαθείας· ἔστι δὲ ὁ κυκεὼν γληχοῦς ποταμίας μίξις καὶ ἀλφίτων ὁμοῦ μεθ' ὕ[δατος· ὁ

3 *διαφύγοι* MA: *-φυτοι* V ‖ 6 *οἷον ἡ* A: *οιονη* VM *οἱονεὶ* perp. leg. edd. ‖ 9 *προσενεχθῇ* A: *προσενεχθη* VM *προσενέχθη* perp. Schn. Buss. *προσενεχθῆναι* Band. ‖ 13 *κατὰ* VM: *καὶ κατὰ* A *καὶ τὰ* perp. leg. edd. ‖ 15 *ὃν οὕτω λέγουσιν* MA (V non legitur): perp. om. edd. ‖ 17 *ἠρεμεῖ· ἀλύει* A: *ηρεμιαλυει* VM *ἠρεμιᾷ· ἀλύει* (ex *λύει* corr.!) edd. ‖ 26 *δίδωθι* scripsi: *δίδοθι* codd., edd. ‖ 28 *γληχοῦς* scripsi: *γληχους* VM *γλήχους* edd. *γλιχοὺς* A

f. 444r μὲν οὖν] δὴ κυκεὼν οὗτος γενέσθαι | γὰρ οὖν λέγεται τῆς Δήμητρος ποτὸν τρόπῳ τοιούτῳ· ὡς ἀφίκετο ἡ Δημήτηρ εἰς Ἐλευσῖνα τῆς Ἀττικῆς μετὰ τὴν πολλὴν ἐκείνην πλάνην καὶ κακοπάθειαν, ἥν, ἁρπασθείσης τῆς θυγατρός, ἔδοξε πλανᾶσθαι, ξενίοις ὑποδέχεται Μετάνειρα αὐτήν· γυνὴ δὲ ἦν ἄρα, οἶμαι, ἡ Μετάνειρα τοῦ Κελεοῦ· οὐ γὰρ δὴ παρὰ τῇ Τυροῖ τῇ Ἱπποθόωντος κατήγετο· βαρυνομένην γοῦν τῷ πάθει καὶ ἐν συννοίᾳ καθημένην αἰσχρορρημονήσασα ἡ Ἰάμβη μεταβάλλει αὐτήν, ἡ δὲ τέρπεται μὲν καὶ σφόδρα ἐπὶ τοῖς ῥηθεῖσιν ἡ Δημήτηρ παρὰ τῆς Ἰάμβης, γελάσασα δὲ ἐπιθυμεῖ πιεῖν, καὶ τὸ ἐντεῦθεν γίγνεται τῆς Δήμητρος οὕτως ὁ κυκεὼν ποτόν. Ἔστω δὲ πρὸς τοῖς εἰρημένοις εἰς τὴν περὶ τούτων θεραπείαν ἐγκέφαλος συὸς εὐτραφοῦς μετὰ τῆς βοτάνης ἀμνοῦ καὶ τοῦ λεγομένου λινοσπέρμου· χρησιμώτατός σοι καὶ νέας αἰγὸς ἐγκέφαλος καὶ καθεψηθέντος ὕδωρ χηνὸς ὡς πλεῖστον εἰς ποτὸν διδόμενον· ἄχρι μέντοι τοσούτου τὸ ὕδωρ ἔστω πινόμενον, ἄχρις οὗ κορεσθεὶς ὁ πίνων εἰς ἔμετον τραπῇ, καθιέτω δὲ δὴ τοὺς δακτύλους διὰ τοῦ στόματος, ἵνα, μηδέπω τῆς τροφῆς εἰς πέψιν ἐλθούσης, ἀποβλυσθείη τὰ σιτία· πάντως γὰρ τῇ τροφῇ τὸ φάρμακον συμπλακὲν δήπου συνεξελεύσεται. Ἀλλὰ γὰρ καὶ ἐνίεσθαι τὸν τοιοῦτον προσήκει γάλακτι· ὑπαγομένη γὰρ ῥᾳστώνην ἡ γαστὴρ τούτῳ καθάπαξ κομίζει· οὐ μὴν ἀλλά τοι καὶ δεινοπαθοῦντι καὶ ἐκλυομένῳ τὸ γάλα ἐπωφελέστατον, ἢν πίνῃ τις αὐτὸ τῶν πεφαρμαγμένων, καὶ τὰ τῆς ἀμπέλου φύλλα σὺν αὐτοῖς ὁμοίως τοῖς κλήμασιν μετ' οἴ-
f. 444v νου κοπέντα τοῦ γλυκέος | ἀπεριόπτως ἐκσῴζειν τὸν κακοπαθοῦντα, ἐπειδάν τις πίῃ αὐτοῦ, εὐπετῶς δύναται. Ἀτὰρ δὴ καὶ ἡ λεγομένη σκορπίουρος μετὰ μέλιτος, ὥστε πίνειν αὐτήν, ἐστὶν ἐπιτηδεία λαμβάνεσθαι. Εἰς ὕψος δὲ αἴρεται καὶ θάλλει ἡ σκορπίουρος αὕτη, καὶ τὰ καυλεῖα φέρει λε-

1 pr. *οὖν* edd. (V prob. in lacuna): om. MA ‖ 2 *τρόπῳ τοιούτῳ ὡς ἀφίκετο* (del. *δὲ*) Buss.: *τρόπῳ δὲ ὡς ἀφίκετο τοιούτῳ* codd. ‖ *ἡ Δημήτηρ* VM: *ἡ* om. edd. cum A ‖ 3 post *Ἀττικῆς* puncto dist. A ‖ 11 *οὕτως* VM: *οὗτος* A, edd. fort. recte.

πτά, καὶ ἡ μολόθουρος διὰ ταῦτα προσέοικεν αὐτῇ. Ἐν Σάμῳ δὲ τῇ νήσῳ γίγνεται γῆ, ἣν οἱ τὴν νῆσον οἰκοῦντες καλοῦσιν ἀστέρα· τετράδραχμόν τοι χρὴ τῆς γῆς ταύτης εἰς τὴν περὶ τούτων θεραπείαν ἐμβάλλειν φέροντα. Παρθένιον δὲ ἐκαλεῖτο Σάμος, καὶ Φυλλίδα αὐτὴν ἐπὶ τούτοις οὐκ ὤκνησαν καλεῖν, καὶ ἀπὸ Ἰμβράσου τοῦ ποταμοῦ αὖθις τὸ ὄνομα ἔσχεν Ἰμβρασίας, κριὸς δὲ τῆς γῆς, ἧς ἀστήρ ἐστιν ἡ προσηγορία, ταύτης γέγονεν εὑρετής, Χήσιον δὲ ὁ τόπος κέκληται, ἐν ᾧπερ οὖν εὑρεθῆναι ταύτην τὴν γῆν λόγος, τὸ δὲ ὄρος, ἐν ᾧ τὸ Χήσιον, Κερκέτιον. ἐπιδέξιον τοίνυν τοῦ γλυκέος οἴνου τὸ διπλάσιον τοῦ ῥηθέντος μέτρου διδόμενον ποτόν· τούτῳ μέντοι τῷ οἴνῳ, εἴτ' οὖν ἑψέματι, πηγάνου κλωνία συνεκλείου, καὶ ῥόδινον μύρον ἐπίβαλλε, εἶτα συντάραττε ἐπὶ πολύ· οὐ γὰρ μὴ τοῦ δεινοῦ περιγενόμενον διοίσει καὶ περισώσει τοῦ κινδύνου τὸν πλημμεληθέντα.

f. 445r 157-185. Τό γε μὴν οὕτω καλούμενον κόριόν ἐστι μὲν δυσαλθὲς ποθὲν τοῦτο δὴ καὶ δυσθεράπευτον· τῶν γὰρ μετασχόντων αὐτοῦ καὶ πιόντων ὅλως οἱ μὲν ἔκφρονες καὶ φλύαροι αὐτίκα γίγνονται, καὶ ὁ λόγος αὐτοῖς οὐ σῴζει τὴν τάξιν, οἱ δὲ παραπλῆγές τε ἄλλως καὶ ἐκμανεῖς καὶ βοῶσιν ὀξύ [περ οὗτοι,] καθάπερ αἱ Βάκχαι οἰστρηθεῖσαι. Ἀλλὰ τούτοις μὲν βοηθεῖ οἶνος ὁ παλαιὸς ἄκρατος, καὶ οὗτος εἰς πλῆθος πινόμενος· ὠφελιμώτατος δὲ καὶ πράμνιος, ἔτι μέντοι καὶ ἅλμη πρὸς τούτοις ποθεῖσα δριμεῖα ἐπίκουρος γίγνεται τῇ συνενεχθείσῃ τῷ ἀνθρώπῳ τῇ ἀπὸ τοῦ κορίου τούτου κακοδαιμονίᾳ· καὶ ᾠὰ ὄρνιθος κενωθέντα καὶ θαλάσσης ἀφρῷ συναναφυρέντα

2 τῇ νήσῳ A: τησω (νη s.l.) M τηοω vel τησω V ‖ 7 Ἰμβρασίας edd.: Ἰμβρασιὰς A Ἰαμβρασίας VM ‖ 8 εὑρετὴς scripsi: εὑρέτης edd ‖ 9 κέκληται MA (V non legitur): καλεῖται leg. edd. ‖ οὖν V: οὐκ M, quod perp. leg. in V edd., om. A ‖ 10 Χήσιον edd.: Χρήσιον codd ‖ 12 sq. εἴτ' οὖν scripsi: ητουν V ἤ τ' οὖν M ἤτουν A εἴτουν perp. edd ‖ 13 ἑψέματι VM: ἑψήματι A, edd ‖ 22 περ οὗτοι MA (V certe in lacuna): perp. om. edd

ζωὴν περιποιεῖ τῷ τοιούτῳ, καὶ τὸν θάνατον ἐπιόντα προσελθεῖν οὐκ ἐᾷ· τούτῳ τοι ἁλισκόμενον ἔστι καὶ τὸ κέπφος ἰδεῖν, ἔστι δὲ ὄρνεον θαλάσσιον, ὃ καλοῦσι κέπφος· θηρῶσι δ' οὖν τὸ ὄρνεον τοῦτο, ἀφρὸν συναναμειγνύντες τοῖς ᾠοῖς, ἁλιέων παῖδες· ἐπειδὴ γὰρ δεῖπνον ἀφρὸς τῷ ὀρνέῳ γιγνόμενός ἐστι, καὶ ζωῆς αἴτιον τὸ αὐτὸ καὶ θανάτου πρόξενον γίγνεται. Οὗτοι δὴ οὖν, οἷς ταύτην ἐπιμελὲς τὴν ἄγραν τῶν ὀρνέων εἰδέναι, κατὰ σμικρὸν τὸν ἀφρὸν μετὰ τοῦ ᾠοῦ μίξαντες πέμπουσιν εἰς δέλεαρ τούτοις τοῖς ὀρνέοις, οἱ δὲ ἑπόμενοι τῇ τούτων ἀπάτῃ κατὰ βραχύ, καὶ μεταποιούμενοι καὶ κατεσθίοντες ἐνίσχονται μὲν δὴ τῇ ἄγρᾳ δολερᾷ τε οὔσῃ καὶ ὑπούλῳ, οὐδὲ διαφυγγάνουσι γὰρ οὖν τὰς τῶν ἀσπαλιευτῶν ἐπιμόχθους χεῖρας. Ἀλλὰ γὰρ καὶ σύ γε τὴν ἀγλαυκῆ καὶ μελανὴν ἐπὶ f. 445v τούτοις | λάμβανε ἐνταῦθα θάλασσαν, ἣν ὑποτάσσεσθαι καὶ δουλεύειν ὁ τοῦ Ποσειδῶνος ἐθέσπισεν τοῖς ἀνέμοις νόμος, ἐθέσπισεν δὲ ἄρχειν ἄρα καὶ τοῦ πυρὸς ὁ Ποσειδῶν τοὺς ἀνέμους δεῦρο· ἡ μὲν οὖν θάλασσα ταραχώδης οὖσα καὶ χαλεπὴ δεσπόζει τῶν νεῶν καὶ τῶν διαφθειρομένων ἀνθρώπων ἐν αὐτῇ ὑπὸ τῶν ἀνέμων αὐτὴ βασιλευομένη, τὸ δὲ δὴ πῦρ ἄρχει μὲν τῆς ὕλης ἄρα, καὶ ἀπηχθημένον ἐστὶν αὐτῇ, δεσποζόμενον δὲ ἀνέχεται πάλιν ὑπὸ τῶν πνευμάτων. Ἔτι μὴν καὶ ἔλαιον, ἀλλὰ σὺν οἴνῳ διδόμενον τοῦτο ἐπωφελέστατον τῷ κάμνοντι· καὶ χιὼν μετὰ δὴ γλεύκους πινομένη ἀπαλλάττει πόνων· ψιθίας δὲ ἔστω τῆς ἀμπέλου παραχρῆμα ὁ τρυγηθεὶς οἶνος, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν οἱ τρυγήσαντες πατοῦντες θλίβουσι τοὺς βότρυς, ὅτε δὴ αἵ τε μέλιτται καὶ σφῆκες καὶ αἱ τενθρηδόνες περιπετόμεναι καὶ ἐφιζάνουσαι ταῖς σταφυλαῖς μάλιστα εὐωχοῦνται τοῦ γλεύκους, καὶ τῷ τῶν ἀμπέλων ἀλώπεκες λυμαίνονται καρπῷ.

f. 446r 186-206. Ὑπάρχει δὲ πιόντι κώνειον βλάπτεσθαι μάλιστα τὴν κεφαλήν, φοινίττεσθαι δ' ὡς ὅτι μάλιστα τὸ σῶμα, ἀχλύν τε τοῖς ὀφθαλμοῖς ἐπικεῖσθαι πολλήν· καὶ οὖν καὶ ὁρᾶν σφαλερὸν τούτῳ δὴ συμβαίνει, καὶ περιδινεῖσθαι δοκεῖ τὰ

27 ὅτε A: ὅτι V ὅτε τε edd

ἐν ὄψει πάντα, πόδες τ' οὐκέτι δύνανται αὐτοῖς τὸν χρώμενον φέρειν, καὶ αἱ χεῖρες ὡς αἱ τῶν ἐν σκότῳ βαδιζόντων ἀνὰ τοὺς στενωποὺς πλανώμεναί εἰσι καὶ ἐπαφωμένων τὸν ἀέρα ὑπολαμβάνει τοιγαροῦν αὐτὸν ἐπὶ τούτοις πνιγμός, καὶ στενουμένης τῆς φάρυγος, ἐμφράττεσθαι δοκεῖ· ἀλλὰ γὰρ καί, τῶν ἄρθρων ἐπιψυχομένων, οὐκέτι σωφρονεῖ, ἀλλὰ σκοτούμενος ὡς τὰ πολλὰ κατὰ τῆς γῆς πίπτει, καὶ καθάπαξ πρὸς τὸν θάνατον ὁρᾶν ὁ τοιοῦτος δοκεῖ. Δόξαις μέντ' ἂν βοηθεῖν τῷ κάμνοντι ταύτῃ, καὶ τῆς ἀπὸ τοῦ φαρμάκου αὐτὸν ἐξείργειν συμφορᾶς, εἰ διδοῖς ἔλαιον καθ' ἑαυτὸ καὶ οἶνον εἰς κόρον, ὥστε πίνειν, θερμὸν καὶ ἄκρατον τούτῳ, ἵνα δὴ τοῦτο τὸ φάρμακον μετά τε τοῦ οἴνου καὶ ἐλαίου ἀναμειγνύμενον ἔνδον, εἶτα ἀποβλυσθὲν ἀπαθῆ τὸν μετεσχηκότα αὐτοῦ φυλάξῃ τῶν ἐξ αὐτοῦ κακῶν. Ἐνίει δὲ καὶ τὴν γαστέρα ἐλαίῳ πρότερον ὑποχρίων· καθαίρων γὰρ αὐτὴν διὰ τοῦ κλυστῆρος εἰς ῥαστώνην ἄξεις. Ἀλλὰ μὴν καὶ οἴνου μέτα καὶ τούτου ἀκράτου, δαυχμοῦ τε ὁμοίως τῆς βοτάνης τὰ ἁπαλώτατα καυλεῖα, ἢ δάφνης τὰ φύλλα, ἣν τὰ Θεσσαλίας μὲν τὸ πρῶτον ἐκόμισε Τέμπη, ἐστεφανώσατο δ' ὁ ἐν Δελφοῖς Ἀπόλλων τὴν κεφαλὴν τοῖς ἐκείνης κλάδοις, πέπερί τε αὖ καὶ κνίδης σπέρμα
f. 446v [ἅμα τρίψας] συναναλάμβανε, προσεπιβάλλων δηλαδὴ | καὶ ὀποῦ καὶ ἰρίνου μύρου, σίλφιόν τε μετ' ἐλαίου λευκοῦ λειώσας, τὸν νοσοῦντα πίνειν ἀπλήστως κέλευε. Ἀλλά τε καὶ γλυκέος οἴνου μετὰ γάλακτος ἕψων ἠρεμαίῳ πυρὶ δίδωθι καὶ τούτῳ, ὥστε πίνειν αὐτόν.

207-248 Παραχρῆμα δ' ἂν ἐπαμύνειν ἔχοις τῷ πεπωκότι τὸ τοξικόν, ἣν θεασάμενος τὸν ἄνθρωπον εὕροις πρῶτον

8 *μέντ'* scripsi: *μέν τ'* edd. ‖ *βοηθεῖν* A: *βηθειν* V ‖ 10 *διδοῖς* A (*διδοις* V): *δίδοις* edd. ‖ 11 *τούτῳ* V: *τοῦτοι* A ‖ 14 *ἐνίει* MA (*ειιοι* vel *ενιει* V): *ἔνιοι* perp. edd. ‖ 15 *ὑποχρίων* A: *ὑποχρείων* VM *ὑπέχριον* perp. leg. edd. ‖ 17 *δαυχμοῦ* scripsi: *δαυχμον* VM *δαύχμον* A *δαύκου* perp. leg. edd. ‖ 20 *αὖ* V: perp. om. edd. cum M et A ‖ 21 *ἅμα τρίψας* M: *ἀνατρίψας* A (V non legitur) ‖ 24 *δίδωθι* scripsi: *δίδοθι* codd., edd. ‖ *τούτῳ* VM (et coniec. Buss.): *τοῦτο* A et perp. leg. edd. in V ‖ 27 *εὕροις* codd.: *εὕρῃς* edd.

μὲν βαρυνόμενον καὶ πεφορτισμένον ὥσπερ αὐτόν, ἔπειτα κάτωθεν μὲν παχεῖαν τὴν γλῶτταν ἔχοντα, ξηρὰ δὲ τὰ χείλη καὶ τὰ στόμια οἰδαίνεται, ἥ τε δὴ [φάρυξ], τὰ αὐτὰ ὑπομείνασα τοῖς χείλεσι, φλέγμα λεπτὸν καὶ ξηρὸν ἀναπέμπει σφόδρα· ἔπειτα ἐκ βάθρων αὐτοῦ τὰ μὲν οὖλα ῥῆξιν ὑπομένει, ἡ δὲ διάνοια ταράττεται, βοᾷ θ' ὡς ὑπ' ἐκπλήξεως γεγονὼς κάτοχος [δειλίᾳ], φωνῇ τ' αἰγὸς ἐοικυίᾳ χρῆται, καὶ ὥσπερ οἱ μισανθρωποῦντες μοχθηρὸν φθέγγεται, καὶ ἁπλῶς οἷον αἱ τῶν ἀποκοπτομένων τὰς κεφαλὰς κεφαλαὶ παρασύρει τὴν γλῶτταν οἷα [δὲ] τῆς κερνοφόρου Ῥέας ἡ ὑποζάκορος, ἀνά τε δὴ τὰς ὁδοὺς καὶ τὰ χωρία στρεφομένη, |
f. 447r ἐμμανής τ' οὖσα καὶ ἔνθεος, ἀθρόα κέχρηται καὶ μακρᾷ τῇ φωνῇ, οἱ δ' ἀκούσαντες εὐλαβοῦνται τῆς Ἰδαίας Ῥέας τὸ φοβερώτατον ὕλαγμα, οἷον καὶ μανίας πλῆρες, τοιαῦτα καὶ οὗτος ἐσφαλμένα καὶ λύσσης γέμοντα φθέγγεται, καί, ὥσπερ οἱ παῖδες, τὰ πολλὰ κλαυθμυριζόμενος καὶ ὠρυόμενος διατελεῖ, ταυρηδὸν ὑποβλέπει τε καὶ ὑπαφρίζει τῷ στόματι, καὶ τοὺς ὀδόντας παρατρίβων ἦχον ἀποτελεῖ, ὥστε χρὴ τοῦτον μὲν φυλάττειν τὸ πρῶτον δήσαντα, ἔπειτα οἶνον ἐγχεῖν τούτῳ πολὺν καὶ μὴ βουλομένῳ· κἂν ᾖ συνηγμένους τοὺς ὀδόντας ἔχων, ἐνίει τὸν οἶνον διεπαίρων αὐτούς, ὅπως ἂν ἐξεμῇ, ἵν' ἐξεμοῦντος μετὰ βίας αὐτοῦ τῆς ἐκ τῶν δακτύλων συνεξέλθῃ τὸ δεινὸν ἐκεῖνο φάρμακον καὶ θανατηφόρον. Ἀλλά τοι καὶ καθεψηθέντος νεογνοῦ που χηνὸς καὶ διατακέντος τὸ ὕδωρ πρὸς ἴασιν ἄγει πινόμενον σφόδρα, τῆς τε μηλέας τῆς ἐν ὄρει ὁμοίως ὁ καρπός, καὶ ὁ φλοιὸς τῆς αὐτῆς μηλέας δεῦρο κοπεὶς ἄριστα ἰᾶται, καὶ τῆς ἐν κήποις δὲ τραφείσης μηλέας ὁ καρπὸς πρόσφορος, ἔστω δὲ τὰ μῆλα εἰαρινά· εἰ δὲ μὴ παρείη ταῦτα, τοῖς λεγομένοις ἐνταῦθα κέχρησο στρουθίοις, ἢ οἷς ἐκόμισεν ἡ Κρήτη στύφουσι τὰ

3 *φάρυξ* A (V non legitur): *φάρυγξ* edd., sed cf. p. 66, 5 ‖ 6 *ὑπομένει* A, edd.: *υπομεινη* VM ‖ 7 *δειλίᾳ* M: *λίαν* A ‖ 9 *κεφαλαὶ* A, edd.: *κεφαλὴ* VM ‖ 10 *δὲ* MA (V non legitur): *δὴ* perp. leg. edd. ‖ 16 *κλαυθμυριζόμενος* A: *κλαυμυρ-* V ‖ 17 *ὑποβλέπει τε* scripsi: *τε ὑποβλέπεται* codd. ‖ 18 *ἀποτελεῖ* A, edd.: *απολει* VM ‖ 21 *ἐνίει* scripsi: *ειιθι* V *ἔνιθι* MA, edd. ‖ 22 *ἐξεμοῦντος* edd.: *ἐξεμῶντος* codd. ‖ 29 *εἰαρινά* VM: *ἠρινά* A

Κυδώνια μῆλα πάντα τοίνυν σφύρῃ ταῦτα συγκόψας εἰς ὕδωρ ἔμβαλλε, τὸ δ' ὕδωρ ἐχέτω καὶ γληχοῦς· διανοιγομένου δὲ τὸ στόμα ἐνσταζέτω τις τοῦ ἀνθρώπου τούτου ῥόδινον μύρον, ἢ ἴρινον, ποιῶν τε τοῦτο συνεχῶς καὶ ἐν ἡμέραις πάνυ πολλαῖς ῥύσασθαι τῆς τε μανίας καὶ πλάνης καὶ κακοπαθείας τῆς ἐκ τοῦ τοξικοῦ τοῦτον δυνήσεται τὸν ἄνθρωπον. 'Επα-
f. 447v λείφουσι δὲ τούτῳ μὲν τὰς αἰχμὰς τῷ φαρ|μάκῳ 'Αράβων Νομάδες, καταχρίουσι δὲ τὰς ἀκίδας τῶν βελῶν οἱ τὴν παρὰ τὸν ποταμὸν κειμένην τὸν Εὐφράτην γεωργοῦντες χώραν· ἔστι δ' ὡς ἐπίπαν τοῖς τιτρωσκομένοις τοῦτο τὸ τοξικὸν πολέμιον· ἐμπεσὸν μὲν γὰρ τῷ σώματι καὶ γευσάμενον καθάπαξ ἀνθρωπίνου χροός, μελανὸν πρῶτον μὲν τὸ σῶμα κατεργάζεται τοῦ τρωθέντος, ἔπειτα τρέπει αὐτό, καὶ νεκρῶδες ποιεῖ, καὶ διαδέχεται αὐτὸ ἐκ τούτου ὕδερος, ὁ δ' ἰός, τοῦ ἀνθρώπου κατασηπομένου καὶ ῥήξεις ὑπομένοντος τούτου, κατὰ παντὸς μέρους ἔξω χωρεῖν βιάζεται σὺν ὕδατι πάνυ πολλῷ καὶ ἀκαθαρσίᾳ.

249-278. 'Αλλὰ γὰρ καὶ τοῦ τῆς Μηδείας ἐπειδὰν ὅλως τις μετειληφὼς εὑρεθῇ φαρμάκου, ὀλεθρίου τε δὴ τούτου καὶ καυστικωτάτου τυγχάνοντος, ἐφημέρου τε πρὸς πάντων ὀνομαζομένου, πρῶτον μὲν ἔνδοθεν ἐγείρεται καὶ περὶ τὰ χείλη τοῦ πιόντος ἀμήχανος κνησμός, καὶ οἷος δὴ τοὺς
f. 448r χριομένους τῷ ὀπῷ | τῆς κράδης κνησμὸς κατέχειν πέφυκεν, ἢ τούς γε τῇ τραχύτητι τῶν κνιδῶν ἐντετυχηκότας, ἢ οἷος ἀπὸ τῆς σκίλλης προστριβείσης κνησμὸς ἐγγίνεσθαι μετ' ἐρυθήματος τοῖς σώμασι φιλεῖ, τοιοῦτος ἐν δὴ τοῦ πιόντος τῷ στόματι δακνώδης καὶ βαρὺς καθάπαξ εὑρίσκεται κνησμός· καταποθὲν μὲν οὖν τὸ φάρμακον τοῦτο τὸν στόμαχον εὐθὺς εἰς ἕλκωσιν τοῦ ἀνθρώπου φέρει· ἐμεῖ δ' οὖν πονηρὸν ὁ τοιοῦτος καὶ ὕφαιμόν τε, ὡς δόξειεν ἄν τις χροιᾶς τὸ ὕδωρ τοῦτο εἶναι κρεῶν πλυθέντων ἐν αὐτῷ· ἔπειτα, τῆς θεραπείας ἀφυστεριζούσης, ἐπίτασιν ἡ χροιὰ δέ-

2 *ἐχέτω* VM: *ἐχέτω τι* A ‖ 9 *Εὐφράτην* A: *Εὐφράταν* V ‖ 10 *τὸ τοξικὸν* A, edd.: *τὸ* om. V ‖ 30 *τε* VM: *τι* A ‖ 31 *κρεῶν* Buss : *ὕδωρ* VM *ὕδωρ ὑφαίμων* A ‖ *κρεῶν* post *ἐν αὐτῷ* add Schn.

χεται, καὶ τὸ προϊὸν διὰ τοῦ στόματος τοῦ πάσχοντος αἷμα τὸ ἐντεῦθεν τοῖς ὁρῶσι δείκνυται καθαρόν, πολλάκις τε δὴ καὶ τῶν ἐντέρων οἷον ἀφρὸς αὐτῷ ἀναμεμιγμένος συνέξεισι, καὶ τὰ περιττώματα ὁμοίως τῆς γαστρὸς συναφυρέντα τῇ ἔξω διὰ τοῦ στόματος πορεύεται· τοσαῦτα μὲν δὴ τὸ κολχικὸν κακὰ ἐργάζεται τὸν πιόντα αὐτό. 'Επειδὰν δέ τις βουληθῇ τὸν δεινοπαθοῦντα ἰάσασθαι, ἐκεῖνα ποιείτω· φύλλα τοῦτο μὲν δὴ κοπτέτω ὁ τοιοῦτος δρυός, τοῦτο δὲ καὶ φηγοῦ, ἀλλὰ σὺν αὐτοῖς φύλλοις κοπτέτω τὸν καρπὸν τῆς φηγοῦ· ἐμβάλλων μέντοι τῷ γάλακτι ταῦτα πινέτω τὸ γάλα· ἐπειδὰν δ' εἰς πλῆθος μετάσχῃ τούτου τοῦ γάλακτος, καὶ αὐτῇ προσάγων τῇ θηλῇ τὸ στόμα τοῦ ζῴου πινέτω τὸ γάλα· βοηθήσειε δ' ἂν καὶ τὸ πολύγονον ἡ βοτάνη, καὶ ἄλλοτε ταύτης τὰ ῥιζία τούτῳ, ἢν ἑψηθῇ ταῦτα ἐν γάλακτι· καὶ ἀμπέλων [ἕλι]κες ὡσαύτως ἰάσαιντ' ἂν βλάβος ἐναποβραχέντες ὕδατι, καὶ κάστανοι τὸν φλοιὸν περιαιρε-
f. 448v θεῖσαι, ἃς ἡ λεγομένη Καστανέα τὸ τῆς Θεσσα|λίας ὄρος ἐκόμισέν ποτε, νάρθηκός τε τὸ ἐντός, ὃς δὴ τῇ τοῦ Προμηθέως ἐπὶ τῷ πυρὶ λέγεται γενομένῃ συλλαβέσθαι κλοπῇ, καὶ ἕρπυλλος ἡ βοτάνη, καὶ μύρτα ὁμοίως, ὅ τε τῆς σίδης ἐπὶ τούτοις ἀποβρεχθεὶς ἐν ὕδατι σὺν τοῖς ἄλλοις φλοιὸς ὠφελεῖν δύναται, μάλιστα δὲ πάντων ὠφελιμώτατον πινόμενόν ἐστι τούτων τὸ ἐκ πάντων ὕδωρ.

270-311. Μὴ μὲν οὖν ποτέ σε τῆς ἰξίας τὸ δολερὸν {ποτε} ὅλως διαλάθοι ποτόν, μηδέ γε ἔλθοι τοῦτό τινος στόματος πλησίον δεινὸν ὂν φάρμακον· τὴν μὲν γὰρ ὀδμὴν

2 *τὸ ἐντεῦθεν* codd : *τοὐντεῦθεν* edd ‖ 5 *τῇ ἔξω* VM: *τὴν ἔξω* A ‖ 6 *αὐτό* A, malit Buss.: *αὐτόν* V, edd ‖ 9 *αὐτοῖς* codd.: *αὐτοῖς τοῖς* edd ‖ 11 sq. *τούτου τοῦ γάλακτος* edd.: *τούτου γάλακτος* VM, *τοῦ γάλακτος* A ‖ 13 *βοηθήσειε* Schn. Buss.: *βοηθησειϲ* (sed alt. *σ* obelo deletum) V *βοηθήσει* MA, Band ‖ 15 *ἀμπέλων* MA (V certe in lacuna): *ἀμπελῶνος* perp. leg. edd. ‖ 17 *Καστανέα* VA: *Κασταναία* M, edd. ‖ 18 *ἐντός, ὅς* MA (*εντοσος* V): *ἐντὸς* (om. *ὅς*) perp. leg. edd. ‖ *δὴ* MA (*δη* V), Band : *ἡ* ci. Schn. *δ' ἡ* ci. Buss ‖ 24 pr. *ποτέ* VM, edd : om. A ‖ alt. *ποτέ* codd : del edd ‖ 25 *ἔλθοι* A, edd.: *ἔλθοιεν* VM ‖ 26 *ὀδμὴν* A: *ολμην* VM.

προσεοικέναι τοῦτο τῷ ὠκίμῳ δοκεῖ, ποθεῖσα δὲ τραχύνει τὴν γλῶτταν, καὶ ἐξελκοῖ σφόδρα, ἔπειτα τοῦ πιόντος ἡ ψυχὴ πεπλανῆσθαι δοκεῖ, καὶ κατεσθίεσθαι μὲν τὴν γλῶτταν ὑπὸ τῶν ὀδόντων, ἔμπληκτος δέ ἐστι, καὶ ὡς ἀπολωλεκὼς τὰς φρένας μετεωρίζεται· ἀμφοτέρους τοίνυν τοὺς πόρους ἐκ τούτου στένωσις λαμβάνει, ὥστε μήτε τὰ οὖρα |
f. 449r προχεῖσθαι τοῦ λοιποῦ, μήτε τὴν γαστέρα κατὰ τὴν ἑαυτῆς ἐκκρίνεσθαι φύσιν συγχωρεῖσθαι· ἀλλά τοι τὸ πνεῦμα διαδρομὰς μὲν ἔνδον ἀποκλεισθὲν ἀπεργάζεται, ἠχεῖ δὲ μόνον ἐν ταὐτῷ καὶ βορβορύσσεται, ὁτὲ μὲν βροντῆς ἦχον ἀπεργαζόμενον, ὃν ἠχεῖν τὴν βροντὴν ἐν Ὀλύμπῳ λόγος, ὁτὲ δὲ τὸν ἐκ τῶν κυμάτων τῆς θαλάσσης περὶ τὰς πέτρας γιγνόμενον ἐκμιμεῖται κτύπον, ἀλλά τε καὶ μετὰ κινδύνου τὸ πνεῦμα ἄνεισιν πολλάκις τῷδε, ἀτὰρ οὖν καὶ μόλις.

Τὰ τοίνυν τῶν φαρμάκων δὴ ταῦτα, ἐπειδὰν καὶ ποθῇ, ἐκκρίσεις ἀπεργάζεται τῆς γαστρὸς χαλεπάς, καὶ οἷα τῶν ᾠῶν τυγχάνει τὰ διεφθαρμένα, ὅταν αὐτοῖς αἱ κατ' οἶκον ὄρνιθες ἐπικαθήμεναι ἐποίσωσιν βλάβος, ἢ καὶ ἄνευ τῶν κελύφων οὐκ ἐν ὥρᾳ τεχθῇ, ἢ πληγῆς αἰτίαν παρασχούσης ἢ νόσου συνεπιλαβούσης εἰς τὴν τούτων φθοράν. Θεραπευθείη μέντ' ἂν ὁ βλαβεὶς ὑπὸ τῆς ἰξίας, ἣν πίνῃ γλεῦκος, ἐναποβραχέντος ἀψινθίου, ἢ τερεβινθίνης ῥητίνης ἢ πευκίνης ἐπιλαμβάνῃ τῆς τε θρηνώδους ἐπὶ τούτοις δάκρυον πίτυος, παρ' ἣν ἀπέδειρεν ἐρίζοντα Μαρσύαν ὁ Ἀπόλλων ἐλθών, ἡ δὲ ἀπ' ἐκείνου ὀδύρεται κατά τε τὰ ἄγκη καὶ τοὺς δρυμοὺς τὸν παρὰ πάντων ᾀδόμενον μόρον τοῦ Φρυγὸς ἐκείνου· λαμβάνων τοίνυν τοῦ πολίου τοῦ λευκοῦ πρὸς τούτοις τὰ ἄνθη (βοτάνη δέ ἐστι τὸ πόλιον, καὶ καλοῦσιν αὐτὸ μυοκτόνον), πηγάνου τε βλαστούς, καὶ νάρδον, καὶ κάστορος τοὺς κρεμαστῆρας (ὀβο-

1 *προσεοικέναι* A, Buss.: *προσηδειναι* VM *προσηδεῖναι* Band *προσεοικυῖαν* Schn || *τοῦτο* A p. corr.: *τούτῳ* VMA a. corr. || *ποθεῖσα* VM: *ποθὲν* A || 4 *ἀπολωλεκὼς* A: *ἀπωλε[-]κως* V *ἀπολελεκὼς* M || 13 *ἐκμιμεῖται* Buss.: *ἐκμιμεῖσθαι* codd. || 14 *τῷδε* VM: *τόδε* A || 15 *τῶν* A: om. VM, edd. || 21 *μέντ'* scripsi: *μέν τ'* edd. || 23 *πευκίνης* AV p. corr.: *πλευκίνης* V a. corr. M || 24 *ἀπέδειρεν* edd.: *ἐπέδειρεν* codd.

λὸς δὲ δὴ τοῦ καστορίου τυγχανέτω σταθμός), καὶ σίλφιον (ὁ δὲ σταθμὸς ὑπαρχέτω καὶ τούτου ὀβολός), τραγοριγάνου τε τοσοῦτον, ὅσοιπερ χεὶρ χωρεῖ, ὠφελεῖ σὺν
f. 449v οἴνῳ πινόμενα, | καὶ τυρὸς ἔτι μὴν ἁπαλὸς προβάτειος ἐσθιόμενος.

312-334 Ἐπειδὰν δέ τις ἀβουλήτως πταίσας τῷ αἵματι τῷ ταυρείῳ χρήσηται πρὸς ποτόν, τῇ ἀπὸ τούτου περιπίπτει κακώσει τοιᾶδε· ἐμπεσοῦσα τοῖς στέρνοις ἡ τροφὴ πήγνυται, ἔπειτα διὰ τῆς γαστρὸς χωρῆσαν θρομβοῦται τὸ αἷμα, ἐμφράσσονται οἵδε οἱ πόροι οἱ τῆς ἀναπνοῆς, εἶτα, τοῦ πνεύματος ἔνδον ἀποθλιβομένου, ἐπὶ θάτερα μὲν ὁ αὐχὴν ἀποκλίνει μέρη, ὑπό τε ἀδημονίας καὶ σπασμῶν συνεχόμενος ἀδύνατός τε ὢν ἀντέχειν κατὰ τῆς γῆς πίπτει, καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ ὑπαφρίζων καὶ σπαίρων, καὶ ὅσα τοιαῦτα ὑπομένων οὗτος ἀπαλλάσσει κακῶς. Τῷ μέντοι ταῦτα ὑπο-
f. 450r στάντι ἐπειδὰν | θελήσῃς βοηθῆσαι, ἄμυνε τοιῶσδε· τὸν τῆς ἀγρίας συκῆς ἀπόκοπτε καρπόν, ἐμβάλλων δὲ ὄξει τοῦτον ἄρα πλεῖστον ὅσον μεθ' ὕδατος, ἀπ' αὐτοῦ τοῦ ὄξους δίδωθι τῷ τοιούτῳ πίνειν· τοῦ τε καταγαγεῖν πεπληρωμένην τὴν γαστέρα καὶ κενοῦν ἐνιέντα αὐτὴν τούτῳ κεχρημένον τὰ περιττώματα ποιεῖσθαι χρὴ λόγον· αὖθις δὲ ὀθόνης δι' ἀραιᾶς διηθῶν πυτίαν ἄλλοτε μὲν νεβροῦ, ἄλλοτε δὲ ἐρίφου, τοτὲ δ' αὖ λαγωοῦ, ἔτ' εὐωχεῖσθαι ἐπιδιδοὺς οἴσεις πρὸς ὑγίειαν τὸν κάμνοντα· ναὶ μὴν καὶ λίτρου κομιδῇ λειωθέντος καλῶς, τριῶν ὑπάρχοντος ὀβολῶν καὶ τούτου δηλαδὴ τοῦ σταθμοῦ (ἔστω μετ' οἴνου δ' ἡ τῷ πάσχοντι διδομένη πόσις), λάμβανε δὲ καὶ ὀπὸν τὸν ἰσοστάσιον τοῦ σιλφίου σταθμόν, καὶ κράμβης ἐν ὄξει τὸ σπέρμα ἐναποβραχείσης, καὶ κονύζης

10 *οἵδε οἱ* scripsi: *οἱ δε οἱ* M *οιδεοι* V *δ' οἱ* perp. leg. edd. || 11 *ἀποθλιβομένου* MA: *αποθλιβουλομενου* V || 16 *ἄμυνε* scripsi: *ἄμυναι* codd., edd. || 17 *ἐμβάλλων* codd.: *ἐμβαλὼν* perp. leg. edd. || 19 *δίδωθι* scripsi: *δίδοθι* codd., edd. || 23 *τοτὲ* A: *τότε* perp. edd. || *ἔτ' εὐωχεῖσθαι* scripsi: *ετευωχεισθαι* VM *εἶτ' εὐωχεῖσθαι* A *μετευωχεῖσθαι* edd. post Band., verbum aliunde ignotum || *οἴσεις* A: *οισης* VM || 24 *ὑγίειαν* edd.: *ὑγείαν* codd. || *κομιδῇ* A, edd.: *κομιδην* VM || 27 *λάμβανε δὲ* V: *λάμβανέ τε* A || *σταθμόν* MA: *σταθμος* V.

ἔτι μὴν τοὺς κλῶνας τῆς βοτάνης κόπτων, καὶ πέπεριν (ἥκιστα μὲν τὸν καρπὸν λέγω, ἀφ' οὗ δὲ γίγνεται τὸ πέπερι νῦν λέγω τὰ φύλλα τοῦ φυτοῦ), μετὰ δὲ δὴ τῶνδε καὶ βλαστοὺς σύγκοπτε τῆς βάτου· τοῖσδε γὰρ οἷς εἶπον χρησάμενος ὧδε τό τε παγὲν ἔνδον ἤδη καὶ θρομβωθὲν αἷμα διαλῦσαι καὶ ἀποσμῆξαι ῥᾳδίως δυνήσει.

f. 450v 335-363. Μὴ διαλάθῃ δέ σε μηδὲ ἡ βούπρηστις, καὶ τὸ ἐκ ταύτης ὑπὸ σοῦ περιγιγνόμενον ἀγνοηθῇ τοῖς ἀνθρώποις κακόν· πεύσῃ γὰρ πρῶτον μὲν ὡς ἄρχεται ὀδύνας παρέχειν τοῦτο τοῖς πιοῦσιν αὐτό, λιτρώδης τέ τις αὐτίκα περί τε τὰ χείλη καὶ τὸ στόμα, καὶ οἵα πέρ ἐστιν ἡ γεῦσις τοῦ φαρμάκου τούτου, ποιότης ἵσταται· ἐπὶ τὰ κάτω γενόμενον ἀλγεῖν μὲν τὴν γαστέρα τὸ φάρμακον ποιεῖ, τῷ δὲ δὴ ταύτης ὡς ἐπίπαν πονηρὸν στόματι γίγνεται, ἐμφράσσεται δὲ ὁ τῶν οὔρων πόρος· ἥ γε μὴν κύστις ὑπὸ πνευμάτων ὀχλουμένη ὑπομένει ψόφους, καὶ οὖν καὶ ὄγκος περὶ τὴν γαστέρα τούτου ἐγείρεται πολύς, καὶ τοῖς ὑδέρῳ περιπεπτωκόσιν ἔοικε τὴν χροιάν· ὥσπερ οὖν καὶ διῳδημένοις, συρρέοντος εἰς αὐτὴν παντὸς δήπου τοῦ κακοῦ τῶν ἔνδον καὶ συνισταμένου, τὸ δ' οὖν δέρμα ἐκτέταται, καὶ τοῦτο ἐπὶ πάντων ὡς ἔστιν τῶν μελῶν δείκνυται· πάλιν δ' αὖ ὥσπερ τὰς δαμάλεις καὶ τοὺς μόσχους ἐμπίμπρασθαι καυλεῖα φαγόντας ἐκ παντὸς συμβαίνει, οὕτω δὴ καὶ τῶν ὑπὸ τούτου κατεσχημένων τοῦ φαρμάκου ὀγκοῦσθαι συμβαίνει τὴν γαστέρα· διά τοι τοῦτο καὶ λέγουσιν, οἶμαι, οἱ νομῆς παρὰ σφῶν τὸ ζῷον βούπρηστιν. Ἀλλὰ σὺ μὲν ξηρὰ σῦκα μετ' οἴνου ἑψήσας πίνειν ἐπίτρεπε τῷ τῆς

1 πέπεριν VM: -ρι A, perp leg. edd || 2 sq πέπερι νῦν λέγω τὰ φύλλα τοῦ φυτοῦ V: πέπερι νῦν δὲ λέγω τὰ φύλλα τοῦ φυτοῦ MA πέπερι, τὰ φύλλα δὲ λέγω τοῦ φυτοῦ perp. edd. || 10 πιοῦσιν A: ποιοῦσιν V || 12 φαρμάκου edd.: μακου VM κακοῦ A || ἐπὶ τὰ VM: ἔπειτα A || 13 sq. ποιεῖ, τῷ δὲ δὴ scripsi: ποιειτωδεδη V ποιεῖ, τὸ δὲ δὴ A ποιεῖ τόδε δὴ perp. ci. et dist. Buss. τωδεδη om. Band. et Schn. || 14 ταύτης ὡς scripsi cum V: ἐκ τούτου ὡς A ταύτης, <καὶ> ὡς perp. dist. et καὶ add. edd. || 26 νομῆς VM: νομεῖς A, edd. || παρὰ σφῶν scripsi: παραεφων VM παρὰ ἐφ' ὧν A, παρ' ἐφ' ὧν perp. edd.

θεραπείας δεομένῳ ταύτης· ὡσαύτως δὲ σφύρῃ κόψας πάνυ καὶ ἑψήσας πάλιν σῦκα ξηρὰ ἄριστον ἕξεις δὴ τῷ νοσοῦντι βοήθημα τοῦτο, ὥστε χρὴ πίνειν ἐπιτρέπειν εἰς κόρον ἀπ' αὐτοῦ σοι τῷ κακοπαθοῦντι· ἄμεινον γὰρ ἕξει ἐπὶ f. 451r τούτοις μὲν | δὴ ξηρὸν τὸν φοινίκων καρπὸν ἐναποβρέχειν ἄρα προσῆκον γάλακτι, εἶτά που διδόναι τὸ γάλα πίνειν τοῦτο δὴ τῷ πεφαρμαγμένῳ· ξηρανθεισῶν τε ἀπίων ὡσαύτως καὶ ἀποβραχεισῶν ἐν οἴνῳ τὸ πόμα λυσιτελέστατον, ἥν τε τῆς βάκχης λεγομένης ὁ καρπός, ἥν τε τῆς μυρτάδος εἴη, ἥν τε τῆς σύρνιδος· πίνειν τε αὖ καὶ γάλα γυναικὸς ἐπωφελέστατον, ᾧ πίνειν ὁ λόγος ἐπιτρέπει, παραιρούμενός σφε τῆς συμφορᾶς· ὥσπερ μέντοι τὰ βρέφη προσάγοντα αὐτὸν τῇ θηλῇ τὸ στόμα τῆς γυναικὸς τὸ γάλα χρὴ πίνειν· καθάπερ δὲ τῶν μόσχων οἱ ἄρτι τεχθέντες θηλάζοντες ἀνακρούουσι τῷ στόματι τοὺς μητρῴους μαζούς, ἵνα δὴ αὐτοῖς τὸ ῥεῖθρον ἐπιδιδοῖ πλέον τοῦ γάλακτος, οὕτω καὶ τῇ τῆς γυναικὸς χρὴ τότε τὸν κακοπαθοῦντα προσφέρεσθαι θηλῇ. Ναὶ μὴν καὶ ἔλαιον τούτῳ θερμὸν ἐπιτρεπτέον, ὥστε πίνειν, εἶτα πρὸς ἔμετον ἄγειν δεῖ καὶ μὴ βουλόμενον, ἢ τοὺς δακτύλους ἐμβάλλοντα, ἢ πτερῷ χρώμενον, ἢ βίβλινον καθιέντα, στρέψαντα δι' αὐτοῦ τοῦ λαιμοῦ.

364-375. Ἐὰν δὲ τὸ γάλα ἐν τῇ γαστρὶ παγὲν μὴ ἀποβλύζηται, ὁ δὲ πνιγμὸς ἐπιθέμενος ἀναιρῇ τὸν ἐν τῇ συμφορᾷ, πάλιν ἐπ' ἐκεῖνα ἴεσο τῶν βοηθημάτων, καὶ πρῶτον μὲν οἶνον γλυκὺν ὥστε πίνειν δίδου, εἶτα τὸ δεύτερον ὄξους μετὰ δὴ τοῦτο τυγχανέτω, καὶ ὁ τρίτος πάλιν οἴνου πινέσθω ὑπ' αὐτοῦ ἐπὶ τούτοις κρατήρ· πάντως γὰρ ἡ γαστὴρ ὑπα-

5 τὸν φοινίκων VM: τῶν φοιν- A τὸν τῶν φοιν- Buss. || 10 σύρνιδος Schn. Buss. (συρνιδος V): συρνίδος A σύρινδος M, Band. || 11 ᾧ Band.: ω V ὁ A et ci. Schn., rec. Buss. || παραιρούμενός σφε scripsi: παρ- σφι VM παραιρούμενόν σφιν A || 14 τεχθέντες A, edd.: τειχθεντες VM (an τυχθέντες scrib ?) || 16 ἐπιδιδοῖ codd.: ἐπιδιδῷ perp. leg. edd. || 18 τούτῳ scripsi: τω V τῷ M τὸ A, edd. || 21 καθιέντα, στρέψαντα Schn.: καθιενταστρυψαντα V καθιέντας τρύψαντα M καθιέντα καὶ τρίψαντα A καθιέντα, στρίψαντα Band. καθιέντα, τρίψαντα Buss.

χθήσεται τοῦ πιόντος οὕτως ἀλλὰ γὰρ καὶ τῶν ἀπὸ τῆς Λιβύης ῥιζῶν ἀποίσῃ τὸ κέρδος, ἐναποβρέχων δηλαδὴ τῷ ποτῷ ταυτασὶ τῶν δεινοπαθούντων· τοῦτο δὴ σιλφίου καὶ ὀποῦ πρὸς τοῖς ἄλλοις λέγω· καὶ μέντοι καὶ λίτρον προσμειγνὺς
f. 451v τῇ πόσει ὀνήσεις τὸν πεφαρμα|γμένον· ἀτὰρ οὖν καὶ θύμου στάχυν συμβαλλόμενον εὑρήσεις πρὸς τὴν βοήθειαν· καὶ βότρυς ἐν οἴνῳ βεβρεγμένος μετὰ εὐκνήμου τῆς βοτάνης βρωθεὶς οὐκ ἔστιν βοηθεῖν ἀδόκιμος· καὶ τάμισον δὲ πινόμενον διαλύει τὸ ἐν τοῖς ἐντέροις ἄρα πεπηγμένον κακόν, καὶ ἡδύοσμον ἐπὶ τούτοις, καὶ μελισσόφυλλον ὃ λέγουσι· καὶ γὰρ δὴ ταῦτα οἴνου μέτα στύφοντος ὠφελεῖν δύναται τοὺς δεομένους πινόμενα.

376-396 Τὸ δορύκνιον γάλακτι μὲν ἔοικε τὴν χροιάν, γάλακτι δὲ ἔοικεν ὁμοίως τὴν γεῦσιν· ὁ μέντοι τοῦ δορυκνίου τούτου τῆς κακῆς πόσεως μετεσχηκὼς ὑπομένει τοιάδε· λυγμῷ συνέχεται χαλεπῷ, ὑπανακρούεται τὸν αὐχένα, δυσφορεῖ τε λίαν αὐτοῦ τῆς γαστρὸς τὸ στόμα, ἐμεῖ σὺν αἵματι τὴν τροφήν, αἱ διὰ τῶν χωρίων κάτω ἐκκρίσεις μυξώδεις γίγνονται, τηνεσμὸς δέ ἐστιν αὐτός, ᾧ κατεχόμενος ἀνιᾶ-
f. 452r ται, καλοῦσι δὲ δυσεντέριον | τηνεσμὸν οἱ ἐξ Ἱπποκράτους· ἀνιώμενος τοιγαροῦν ἐπὶ τούτῳ σφόδρα κάμνων τε τὸ σῶμα ὑπὸ ξηρότητος ἔφεσιν οὐδεμίαν ἔχει μεταλαβεῖν ποτοῦ. Ἀλλὰ σὺ τούτῳ μὲν εἰς πλῆθος γάλα ἐπίτρεψον πίνειν, καὶ ποτὲ μὲν μίξας δίδου, ποτὲ δὲ καθ' αὑτό, ἔπειτα χλιανθὲν τοῦτο· οὐ γὰρ ἄλλως κρεῖσσον· ναὶ μὴν καὶ ὄρνιθος καθεψηθείσης ποθὲν ἐπαμύνει τὸ ὕδωρ, καὶ τὸ στῆθος ἁδρυνθείσης κατεσθιόμενον ἐπωφελέστατον, καὶ χυλὸς πτισάνης ῥοφούμενος πρὸς τοῦτο χρήσιμον· οὐδὲν δὴ ἀλλ' οὐδὲ τῶν ἐν τῇ θαλάττῃ τρεφομένων πρὸς ταῦτα ἐπιεικῶς ἀφεκτέον ζῴων,

1 οὕτως ἀλλὰ γὰρ καὶ edd.: οὕτως γὰρ ἀλλὰ καὶ codd. ‖ 3 ταυτασὶ A: ταυτασει VM ταῦτα edd. (an ταύτας σὺ?) ‖ 15 ὑπομένει A: ὑπομενεῖ perp. edd. ‖ 18 τῶν χωρίων VM: τοῦ χορίου A ‖ 19 αὐτός codd.: αὐτῷ Band. Schn. οὗτος dub. in Adn. Buss. ‖ 20 δὲ edd.: τι VM τε A ‖ 26 ἐπαμύνει A: -νηι V ‖ 28 χρήσιμοι V: -μος A ‖ οὐδὲν δὴ VM: om. A

ΕΥΤΕΚΝΙΟΥ ΑΛΕΞΙΦΑΡΜΑΚΑ

ὧν τὰ μὲν ὠμά, τὰ δὲ ὀπτηθέντα, καὶ ἄλλα ἑψηθέντα κατεσθιόμενα παρέχει τῷ κακοπαθοῦντι χορηγίαν ζωῆς, οἵ τε δὴ κοχλίαι πολὺ πλέον καὶ αἱ κηραφίδες πῖναί τε ὁμοίως καὶ ἐχῖνοι, καὶ τὸ κτενῶν γένος· οἱ γὰρ δὴ κήρυκες οὐκ ἀνομοίως τοῖς τοιούτοις δύνανται βοηθεῖν, ἀλλὰ καὶ τὰ τήθη ὡσαύτως δύναται βοηθεῖν, αὔξεται δὲ ἄρα καὶ τρέφεται ἐν τοῖς βρύοις ταῦτα· ἄπεστι δὲ τοῦ βοηθεῖν τοῖς ὑπὸ τοῦ δορυκνίου κεκακουργημένοις οὐδὲ τὰ ὄστρεια.

f. 452v 397-414 Τὸ δέ γε ἐκ τοῦ φαρικοῦ γινόμενον ποτὸν θανάσιμον μηδεὶς ἀγνοείτω, οἷόν που διατίθησι μὲν κάκιστα τὸ στόμα, ὀδμὴν δὲ παρέχεται εἰς ταὐτὸ τῇ νάρδῳ, ποιεῖ δὲ ἐπισφαλῶς τῷ βαδίζειν χρῆσθαι, ἔκφρονα πρὸς τούτοις καθίστησιν, ἐν μιᾷ τὸν πιόντα αὐτὸ ἡμέρᾳ ἀναιρεῖ. Χρῆσθαι τοίνυν ἀναγκαῖον εἰς τὴν βοήθειαν τῆς ῥᾳδίως πρὸς τὴν ὑγίειαν πεφυκυίας καλεῖν νάρδου τοῖς ῥιζίοις σταθμῷ, φέρει δὲ ταῦτα μὲν τὰ ῥιζία τὰ Κιλίκων ὄρη, ὅθεν περ ὁ Κέστρος δεῦρο τοῦ ῥεῖν ἄρχεται ποταμός· σμυρνεῖον δέ, καὶ γὰρ τοῦτό ἐστιν ἐπωφελέστατον πρὸς ταῦτα, λάμβανε, καὶ ἶριν ὁμοίως, καὶ λείριον· ἔστιν δὲ βοτάνη τὸ λείριον, καὶ τὸ ἄνθος αὐτῆς ὡς ὄνου δείκνυται τὸ μόριον· ἐρίσαι γὰρ οὖν τῇ Ἀφροδίτῃ περὶ λευκότητος ἡ φήμη καὶ τοῦτο διαγγέλλει, τὴν τοίνυν Διώνης καὶ Διὸς νεμεσήσασαν ἐπὶ τούτῳ μεταξὺ τῶν φύλλων τοῦ λειρίου ἀνέχειν ὥσπερ τὴν τοῦ ζῴου κορύνην δεδωκέναι. Ἀλλὰ μὴν καὶ τῆς κεφαλῆς τὰς τρίχας ξυρῷ περιαιρούμενος κατάπλαττε αὐτὴν ἄρτι μὲν ἀλεσθεισῶν κριθῶν τῷ ἀλεύρῳ, ἄρτι δὲ πηγάνου συναχθέντος φύλλοις ὁμοῦ συναναφυρέντων πρόσαγε τῇ χρείᾳ,

3 κηραφίδες A: κυρ- VM ‖ πῖναί τε .. ἐχῖνοι A (πιναιτε V): πίνναι τε .. ἐχῖνοι perp. edd. ‖ 4 τὸ codd.: τῶν perp. leg. edd. ‖ οὐκ ἀνομοίως G: οὐχ ὁμοίως cett. ‖ 5 sq. ἀλλὰ .. βοηθεῖν G, Buss.: ἀλλὰ καὶ τὰ τήθη δύναται ὡσαύτως βοηθεῖν A in marg., om. VM ‖ 8 ὄστρεια scripsi (οστρια VM): ὄστρεα A, edd. ‖ 10 που VM: πῶς A ‖ 15 ὑγίειαν edd.: ὑγείαν codd. ‖ νάρδους post ὑγίειαν del. Buss.: praebent codd. ‖ 20 alt. τὸ om. A ‖ 23 τοῦ λειρίου Buss.: τῆς λειρίου codd. fort. recte (in mg. V λείριον τὸ κρίνον ἔνιοι λέγουσιν) ‖ 24 δεδωκέναι Buss.: ἔδωκει codd., Band. Schn.

πρότερον μέντοι ποτίζων τὴν κεφαλὴν νάρδῳ, εἶθ' οὕτως θάλπειν αὐτὴν ἐκ τοῦ παραχρῆμα ἐπίτρεπε.

f. 453r 415-432. *Ὡς ἔστι χαλεπὸν καὶ λίαν ὁ ὑοσκύαμος, δεῖ τε ἀπέχεσθαι αὐτοῦ, καὶ μὴ δι' ἄγνοιαν φαγόντα τοῖς ἀπ' αὐτοῦ γιγνομένοις ὁμιλῆσαι κακοῖς, μηδεὶς ἀγνοήσῃ νηπίων ἔνιοι γὰρ δίκην ἀγνοοῦντες περιπίπτουσιν ἐσθίοντες αὐτοῦ ἢ τὰ τὸ σπέρμα ἀμπέχοντα, ἢ τἀπικείμενα τῇ κόμῃ, τῶν ἄρτι ἀπαγορευσάντων μὲν νηπίων τοῦ τετραποδίζειν, πρὸς δὲ τὴν ὀρθὴν χωρησάντων ἐξ ἀνάγκης βάσιν, τοῖς τε συσπασμοῖς ἐκείνοις καὶ τοῖς κνησμοῖς περιτυγχάνουσιν οἱ τοιοῦτοι, οἷοις περ οὖν καὶ τὰ παιδία, ὁπόταν ὑποφύεσθαι αὐτοῖς τὸ πρῶτον οἱ ὀδόντες ἄρχωνται. Ἀλλὰ τούτῳ μὲν πίνειν γάλα χρὴ διδόναι ἔστι δὲ βούκερώς τις βοτάνη, ἣ διὰ τοῦτο βούκερως προσηγόρευται, διότι τοῖς κέρασι τὸ σπέρμα ἔοικε τοῦ βοός, εἶναι δὲ καὶ ἄλλως ἀγαθὴ πέφυκεν ἥδε πρὸς τροφὴν τοῖς ζῴοις αὕτη τοίνυν ἡ βοτάνη ἅμ' ἐλαίῳ ἑψηθεῖσα τοὺς ἀπὸ τοῦ ὑοσκυάμου βλαβέντας ἐστὶ περισῴζειν δεινή οὐ μὴν ἀλλὰ καὶ τὸ σπέρμα τῆς κνίδης ξηρανθὲν ὠφελεῖ καὶ αὐτὰ τῆς κνίδης τὰ καυλεῖα τὸν μασησάμενον ἄρα καὶ ἀπομυζήσαντα τὸν χυμὸν πάλιν δὴ καὶ τούτων, τό τε δὴ κάρδαμον καὶ κίχορον, ἄγρια δέ γε ταῦτα τυγχάνει λάχανα, ἔτι μὴν καὶ τὸ λεγόμενον κάρυον περσικόν, καὶ ῥάφανος πάλιν ἡ ἀγρία νᾶπύ τε ὁμοίως σῴζει, καὶ αἱ λεγόμεναι γηθυλλίδες, κρόμμυα δέ γε τὰ λεπτὰ γηθυλλίδες εἰσί, καὶ ἄγλιθες αἱ τῶν σκορδον[ίων] σάρκες, ἃ δύνανται ταῦτα πάντα τὴν ἀπὸ τοῦ ὑοσκυάμου διώσασθαι βλάβην.*

1 *ποτίζων* VM: *πότιζε* A || 3 *τε* VM: *δὲ* A fort. recte || 6 *ἀγνοοῦντες* codd : *ἀγνοούντων* malit Buss || *περιπίπτουσιν* A: *περιπτουσιν* VM || 8 *τετραποδίζειν* A: *τετραδοδίζειν* M *τετραλοδιζειν* vel *τετραποδιζειν* V || 14 *προσηγόρευται* A: *προσαγόρευται* VM || 20 *τούτων* scripsi: *τουτο* V *ταῦτα* A || 21 *τε* V: *δὲ* A || 23 *ῥάφανος ἡ ἀγρία* A: *ραφανον . την αγριαν* V *ῥαφανὶς . ἡ ἀγρία* edd || 24 *κρόμμυα* edd : *κρόμυα* codd quod possis || 25 *ἄγλιθες* edd : *ἄγληθες* A (*αγλιθες* V) *ἀγλῖθες* Nic. Ther. 874 || *σκορδονίων* scripsi: *σκορδον* [.] V *σκορόδων* A, edd || *σάρκες, ἃ* A: *σαρκεσαι* V *σ' ἀρκέσαι* perp. edd. || 26 *ἀπὸ τοῦ* codd : *. τοῦ* perp. leg. edd || *διώσασθαι* V: *διασώσασθαι* A

f. 453v 433-464 *Μήκωνος δὲ τῆς ἐν κεφαλῇ φερούσης τὸ σπέρμα οἱ τοῦ ὀποῦ πεπωκότες πάσχουσι τοιάδε καθυπνοῦσι πολλά, ἔπεισι τὰ ἄρθρα αὐτῶν ψυγμός, τοὺς ὀφθαλμοὺς κεκλεισμένους ἔχουσιν, ἱδροῦσιν ἀθρόον καὶ δυσῶδες ὁποίαν τῆς μήκωνος ὀπὸς ἀφίησιν ὀδμήν, τοιαύτην ὁ τούτων ἱδρὼς παρέχεται πνοήν ὠχροὶ τὰ πρόσωπα τυγχάνουσι, τὰ γένεια ἀνέχειν οὐχ οἷοί τέ εἰσιν, τῶν ἐπὶ τούτοις σφίσι χαλασθέντων δεσμῶν κεχήνασι δ' οὖν διὰ παντός, καὶ τὰ χείλη τὴν προτέραν αὐτῶν οὐ φυλάττει τάξιν, ψυχρὸν δὲ διὰ τοῦ αὐχένος σφῶν διέρχεται πνεῦμα Πελιδνωθέντων δὲ τῶν ὀνύχων, ἢ διαστρόφου φανείσης ὁποτοῦν τῆς ῥινός, παρὰ πόδας ὁ θάνατος ἐφίσταται τούτοις. Ἀλλὰ σύ, ταῦτα μὲν ὁρῶν, καταπλαγῇς μηδέν, ἀλλὰ ἐπάμυνε, καὶ μετὰ τοῦ καρποῦ τῶν μελιττῶν οἶνον μειγνὺς παρὰ πόδας τῷ πάσχοντι δίδου τὸ δὲ τούτων γένος τῶν μελιττῶν ἐκ μόσχου σκήνους μὲν τὴν ἀρχὴν εἶναι κατὰ φύσιν ἐδέξατο ἐγένοντο δ' οὖν αἱ μέλιτται ἐν Νεμέᾳ πρῶτον, καὶ αἱ ταύτῃ δρύες εἶχον αὐτάς μιμούμεναι γὰρ δὴ τὴν Δήμητρα ἀνὰ μέσον τούτων τῶν δρυῶν καὶ τῶν ἐν ταύταις τυγχανόντων κοίλων ἐργάζοντο δήπου τὰ κηρία καὶ ἐποίουν μέλι, τήν τε δὴ ἐρείκην καὶ τὸν θύμον αἵδε ποιούμεναι τροφήν. Ἀτὰρ δὴ καὶ ῥόδα ἀποθλίβων αὐτοῦ τὸ ὑγρὸν ἔνσταζε διὰ τῶν χαλινῶν, μᾶλλον δὲ ἔριον ἀποβρέχων εἰς [ἔλαι]ον ῥόδων ἐπιτίθει πλῆρες τῷ στό[ματι καὶ] ποτὲ μὲν ἐξανιστᾶν τις αὐτὸν [πειράσθ]ω, ποτὲ δὲ ἐμβοᾶν αὐτῷ καὶ διασείειν τοῦτον καθεύδοντα, ἵνα* f. 454r *τὸν ὄντα καὶ δοκοῦν|τα τῆς καρηβαρίας ὕπνον ἀποθέμενος διασωθῇ, ἐξεμέσας τὸ ἐν αὐτῷ δηλαδὴ φάρμακον. Προσα-*

4 *κεκλεισμένους* edd : *κεκλιμένους* A *κεκλεινους* V || *ἀθρόοι* edd.: *ἀθρόον* A || 5 *ὀπὸς* V: *ὁ ὀπὸς* A fort. recte || 11 *ὁποτοῦν* V: *ὁπωσοῦν* A, malit Buss || 11 et 14 *παρὰ πόδας* A: *παραπόδας* Buss || 13 *ἐπάμυνε* V: *ἐπάμυναι* A || 18 *γὰρ* V: *μὲν γὰρ* A || 19 pr. *τῶν* A: om V || *ἐργάζοντο* V: *εἰργ-* A || 22 *αὐτοῦ* V: *αὐτῶν* A, edd || *μᾶλλον* A: *μαλλον* V *μαλλὸν* Schn Buss || 23 *ἔριον* A (*εριον* V): *ἐρίου* Schn Buss || 24 *τῷ στόματι* A: *τωστο*[ ] V *τὸ στόμα* perp. leg. edd || *ποτὲ* scripsi: *ποτε* edd || *πειράσθω* A: [ ] *ω* V *δύναται* perp. leg. edd || 25 *τοῦτον* A (V non legitur): om. edd.

γέσθω δὲ καὶ ῥάκια ἐλαίῳ πρότερον καὶ οἴνῳ βραχέντα κατὰ παντὸς μέλους, ἵν' ἀποψυγέντα ἐκθερμανθῇ ταυτί· ἀποβρέχεσθαι δὲ ἐν πυέλῳ καὶ λούειν τὸ σῶμα αὐτοῦ καθάπαξ προσήκει, ὥστε τὸ μὲν αἷμα ὑγρανθῆναι, τὸ δὲ δέρμα κατεσκληκὸς τὸ τούτου καταχαλασθῆναι.

f. 454v 465-494. Κατὰ ταὐτὰ δὲ καὶ τοῦ λαγωοῦ γιγνώσκειν πέρι δή σέ γέ που χρὴ τοῦ ἐν τῇ θαλάσσῃ, ὃς δὴ τυγχάνει μὲν τὴν φύσιν τῶν πάντων ὀλεθριώτατος, ὀδμὴν δὲ τοιάνδε παρέχεται, οἵαν περ ἂν τὸ ὕδωρ, οἶμαι, πλυθέντων ἰχθύων, τὴν δὲ γεῦσιν ἀπ' αὐτῶν, ὡς ὄντων αὐτῶν καὶ διεφθαρμένων, μέλας δέ ἐστιν τὴν ἰδέαν, καὶ ὑπὸ ταῖς τῆς τευθίδος ἢ τεύθου πλεκτάναις φέρεται, ὑποφέρεται δέ γε ὁμοίως καὶ ταῖς τῆς σηπίας, ἥπερ δειλίας εἵνεκά που ἀφίησι θολόν, ᾧ τὸ ὕδωρ θολοῖ· ὁ γὰρ δὴ ταύτης τῆς σηπίας λεγόμενος θολὸς διὰ τὸ φοβεῖσθαι τοὺς ἁλιεῖς καὶ τὴν γιγνομένην εἰς αὐτὰς παρ' ἐκείνων θήραν ἀφίεται ὑπὸ τῆς σηπίας κατὰ τοῦ ὕδατος καὶ οὐκ ἐνέχονται παρὰ σφῶν ἐκ τούτου τῇ ἄγρᾳ, ἀλλὰ διαφυγγάνουσιν οὕτως τοὺς παρ' αὐτῶν δόλους· χολὴ μέντοι παρ' ἐνίων ὁ ἐξ αὐτῶν ὠνόμασται γιγνόμενος θολός. Ἀλλ' οὖν ζοφώδης μὲν τοῦ ἀνθρώπου ἐπανθεῖ τοῖς μέλεσιν καὶ δυσαλθὴς χροιά, ἴκτερος δὲ ἐπινέμεται παντὶ τῷ προσώπῳ, τηκόμεναι δὲ κατ' ὀλίγον αἱ σάρκες αἱ τούτου φθείρονται, καὶ τὸ ἐντεῦθεν εὑρίσκεται σύμπας διατακείς· τροφῆς τοιγαροῦν τὸ παράπαν οὗτος ἔτι προσίεται οὐδὲν οὐδὲ ἀνέχεται, οἰδαίνεταί τε τὸ δέρμα, καὶ ὑποπίμπραται τὰ τῶν κνημῶν, καὶ ἐπανθεῖ ταῖς παρειαῖς ἔρευθος, καὶ βραχεῖα μὲν τῶν οὔρων ἔκκρισις γίγνεται, τὴν δὲ χροιὰν τὰ μὲν οὖρα ἔοικε πορφύρᾳ, ἔκκρισις δ' ἐνταῦθά τις αὐτῶν αὖθις ὡς πλείστη γίνεται· ἀνέχεται μὲν οὖν ὁ πάσχων ταῦτα οὐδὲ ὁρᾶν ἰχθύν, οὐδὲ

2 ταυτί scripsi: ταυτι V ταῦτα A a. corr. ταύτῃ A p. corr., edd. ταυτί malit Buss. ‖ 6 κατὰ ταὐτὰ edd.: καταυτα V κατ' αὐτὰ A ‖ 8 τῶν V: om. A fort. recte ‖ 10 καὶ V: om. A ‖ 13 εἵνεκα V: ἕνεκα cett. ‖ 14 σηπιασασ V ‖ 17 σφῶν codd. (malit Buss.): σφιν perp. edd. ‖ 21 μετασχόντος post χροιὰ add. A ‖ 22 sq. καθολιγον VM ‖ 25 τε τὸ edd.: τετοτε VM τό τε A ‖ 30 pr. οὐδὲ V s. l.

τροφῆς μεταλαμβάνειν, ναυτιῶν οἷος δέ ἐστιν καὶ μυσαττόμενος. Ἀλλὰ τούτῳ μὲν ἐλλεβόρου Φωκικοῦ μεταπιτέον, | f. 455r δοτέον δὲ καὶ σκαμμωνίας αὐτῷ νεωστὶ καὶ προσφάτως αὐτῆς ἐπισκευασθείσης, ὥστε τὸν ἐκ τοῦ λαγῶ ποτὸν οὕτω ὀλέθριον τυγχάνοντα ἅμα δὴ τοῖς ἐκκρινομένοις ἐκβληθέντα ἔξω τοῦ λοιποῦ μετὰ τῶν ζώντων ἀδεῶς διάγειν, τοῦ θανάτου παραιτησάμενον τὴν μέλαιναν ψῆφον. Ναὶ μὴν προσχρηστέον τῷ τοιούτῳ καὶ ὄνου γάλακτι καὶ μαλάχης ἀφεψηθείσης ἱκανῶς τῷ χυλῷ, καὶ κεδρίνης πίσσης τὸν σταθμὸν ἕλκοντος εἰς ὀβολόν· πίνοντι μέντοι αὐτῷ προσχρηστέον τούτοις, ῥοιᾶς τε πρὸς τούτοις ἐσθιέτω τῆς τε δὴ Πραμνίου οὕτως ὀνομαζομένης καὶ ἄλλης Κρησίδος, καὶ οἰνωπῆς ἄλλης, ἃς οἱ τῶν Μεγαρέων δήπου γεωργοῦσι κῆποι, εἰσὶ δὲ ἁπαλαί, καὶ καλοῦσιν αὐτὰς ἀπυρήνους. Ναὶ μὴν καὶ τὸν τῆς ἀμπέλου καρπὸν ὑποβαλὼν κύρτοις, ἐν οἷς ὁ τῆς ἐλαίας καὶ δῆτα ἐκθλίβεται καρπός, τούς τε δὴ μεταξὺ τῶν κόκκων ὑμένας γιγνομένους τῆς ῥοιᾶς τῷ τῆς ἀμπέλου συνέκθλιβε καρπῷ, ἔπειτα καὶ καθ' αὑτοὺς τῆς ῥοιᾶς τοὺς κόκκους ἀποθλίβων, τῷ ἐξ αὐτῶν πρὸς ταῦτα κέχρησο πόματι.

f. 455v 495-520. Εἰ δέ τις εἴη γεγονὼς τοῦ πιεῖν ἐν ἐπιθυμίᾳ, εἶτα βουλόμενος ἄκεσιν πάραυτα τῆς δίψης εὕρασθαι, ἐλθὼν που πλησίον οὗτος καὶ παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ, καθάπερ ταῦρος ἐπιπεσὼν πίνοι τοῦ ὕδατος, τὰ λεπτὰ τῶν μνίων τῇ χειρὶ τοῦ ὕδατος διαστέλλων φύλλα, φερομένη δὲ ὑπὸ τοῦ ῥοῦ βδέλλα ἐμπεσοῦσα τῇ τοῦ πίνοντος καταποθῇ ῥύμῃ, προσφῦσα ἔνθαπερ ἂν τύχῃ, ἐκμυζᾷ τοῦ ἀνθρώπου τὸ

2 ἐλλεβόρου φωκικοῦ VM: ἐλλεβόρῳ φωκικῷ A ἐξ ἐλλεβόρου Φωκικοῦ perp. edd. ‖ μεταπιτέον edd.: μεταποιητέον codd. ‖ 3 σκαμμωνίας V: ἀσκαμμωνίας A ‖ προσφάτως A: πρόσφατος VM προσφάτου edd. ‖ 4 λαγῶ scripsi: λαγω V λαγωοῦ A, edd. ‖ 7 sq. προσχρηστέον τῷ τοιούτῳ VM: προσχριστέον τὸν τοιοῦτον A ‖ 9 πίσσης A: τησσης VM ‖ 10 ἕλκοντος V: ἑλκούσης A ‖ ὀβολόν A: οβολων V ‖ πίνοντι ... αὐτῷ προσχρηστέον VM: πίνοντα ... αὐτὸν προσχριστέον A ‖ 12 Κρησίδος edd.: Χρησίδος codd. ‖ 22 εὕρασθαι V: εὑρέσθαι A ‖ 24 πίνοι edd.: πίνει codd. ‖ 25 φερομένη A: φερομένα VM.

αἷμα ἐφέσει τῆς τροφῆς· ἔστι γὰρ ἡ βδέλλα λαγαρή τε καὶ αἵματος ἐπαύρασθαι διὰ παντὸς θέλει· ὁ τοίνυν καταπιὼν τὸ θηρίον τοῦτο οὐκ ἂν ποιοῖ καλῶς, εἰ πίνοι χλιαρόν· ἐπινηχόμενον γὰρ δὴ τῷ χλιαρῷ τούτῳ ἄλλοτε ἀλλαχοῦ καὶ δὴ τοῖς ἔνδον χωρίοις ἐμφυόμενον προσπελάζει καὶ ἀμέλγει τοῦ ἀνθρώπου τὸ αἷμα, καὶ ποτὲ μὲν ἤδε δι' ὄχλου γίγνεται τῇ φάρυγγι, ὅθεν περ τοῦ πνεύματος ἡ ὁρμὴ προχωρεῖ, ποτὲ δὲ ἐν τῆς γαστρὸς τῷ στόματι κεῖται, λυμαινομένη τῷ ἀνθρώπῳ, καὶ τῆς τροφῆς οὕτως αὐτῷ σύννομος γίγνεται. Ἀλλὰ τούτῳ ποτὲ μὲν ὄξος τῷ ἀνθρώπῳ δοτέον, χιονοφαγητέον δ' αὖ, καὶ πάλιν κρύσταλλον μασητέον· καὶ λίτρου γενομένου διύγρου λίαν ὡς ποτὸν πρόσφερε, ἢ ἁλῶν ἐκλυομένων, καὶ τούτων τὸ ὕδωρ, ἢ αὐτοὺς τοὺς ἅλας αὐτὸν μασᾶσθαι κέλευε· καὶ μέντοι καὶ τὴν ὑπὸ τῶν πηγνύντων τοὺς ἅλας συναγομένην γῆν εἰς ὕδωρ ἐκλύων, πίνειν ἐπίτρεπε τῷ κακῶς ὑπὸ τῆς βδέλλης διατιθεμένῳ, ἁλὸς ἄχνην δὲ τὴν γῆν ταύτην προσαγορεύουσιν οἱ μειγνύντες πρὸς τὴν πῆξιν τῶν ἁλῶν ὕδατι τὸ ὕδωρ.

f. 456r *521-536 Οἱ δὲ μετὰ τὴν βρῶσιν λυπηροὶ τοῖς ἀνθρώποις ἀναφαινόμενοι πολλάκις μύκητες· ἀνοιδοῦνται γὰρ οὖν ἐν τῇ γαστρὶ καὶ ὀδύνας σφοδρὰς τοῖς αὐτοὺς φαγοῦσι παρέχουσιν, ὁπόταν ἐκ τοῦ τῆς ἐχίδνης ἰώδους ἄσθματος ἐφυπνωσάσης αὐτοῖς μεταλαβόντες εὑρεθῶσιν· ἄλλοι παρ' ἄλλοις ἄλλως ὀνομαζόμενοι εὑρίσκονται· οὗτοι δή τι πονηρὸν οὐκ ἂν δράσαιεν τὸν φαγόντα, εἴπερ ἔχοι κατεσθίειν οὗτος τοὺς τῆς κράμβης καυλούς, καὶ τοῦ πηγάνου τὰ κλωνία χλωρὰ τυγχάνοντα, καὶ τὸ λεγόμενον χαλκοῦ ἄνθος· προσταττέσθω πίνειν ἐπὶ τούτοις ἀμπέλινον τέφραν ὄξει φυραθεῖσαν· λαμβανέτω καὶ μέντοι καὶ τοῦ καλουμένου πυρέθρου τὰς ῥίζας, συγκόπτων καὶ σὺν λίτρῳ λειῶν, πράσον τε πρὸς τούτοις, καὶ ὡσαύτως μῆλον, σίνη-*

2 *ἐπαύρασθαι* A: *ἐπαυρᾶσθαι* perp. edd. || 3 *ποιοῖ* V: *ποιοίη* A || 4 *τούτῳ* VA a.c.: *τοῦτο* A p.c. fort. recte || 7 *φάρυγγι* V: *φάρυγι* A || 10 *δοτέον* A: *τότε* VM, edd. *δίδου* post *τότε* suppl. censet Schn. || 13 *τοὺς ἅλας* A: *τουαλλας* VM || 24 *ἄλλοις ἄλλως* A: *ἄλλως ἄλλως* VM

πί τε ὁμοίως, καὶ τὴν λεγομένην καρδαμίδα, καὶ πεφρυγμένην οἴνου τρύγα, καὶ ὄρνιθος τῆς ἐν ποσὶ τὰ περιττώματα f. 456v *πάντα διαφόρως λαμβανέ|τω· εἶτα καθιεὶς τοὺς δακτύλους τὸν ἐκ τοῦ μύκητος τῷ φαγόντι κατασκευαζόμενον ἀποβλύζειν ἐῶν παραιτοῦ θάνατον.*

537-566. Τοῦ ἐκ τῆς σαλαμάνδρας κατασκευαζομένου θανατικοῦ, οὗ ῥαδίως οὐκ ἄν τις ὑπερέλθοι πιών, ἐπειδάν τις λάβῃ, τὴν μὲν γλῶσσαν παχύνεται, καὶ μάλα ἱκανῶς· αὕτη δὲ ἡ σαλαμάνδρα τὸ μὲν εἶδος παρέχεται οἷόν περ ἡ σαύρα, δέρμα δὲ λιπαρὸν ἔχει, ἐν πυρὶ δὲ οὖσα πάσχει οὐδέν· τῶν μέντοι πεφαρμαγμένων ναρκῶδες γίγνεται τὸ σῶμα καὶ ὅλον ἀσθενές, καὶ κομιδῇ τρέμει, οἵ τε πόδες φέρειν σφαλλόμενοι τοῦτο ἥκιστα δύνανται, καὶ ἁπλῶς, ἔοικεν, ἀεὶ μέλλοντι τῷ πίπτειν παιδίῳ ἄν τις εἰκάσειεν αὐτὸν ἄρτι τοῦ βαδίζειν ἀρχομένῳ, τὰ δέ γε τῆς διανοίας καὶ ταῦτα ἐξησθενηκότα καὶ παρὰ πολὺ τυγχάνει τοῦ φρονεῖν ὑγιεινὰ ἢ ἄρτια, καὶ οὐ πᾶν ἐρυθρόν, ἀλλὰ κατὰ τόπους τὸ σῶμα γίγνεται, καὶ μώλωπας ἔχει, καὶ ζοφώδης αὖθις αὐτοῖς ἐπιτρέχει χροιά. Ναὶ μὴν ἀλλὰ σὺ τούτῳ μὲν φέρων μέλι τενθρηδόνος μετὰ πίσσης λαμβάνειν κέλευε, χαμαιπίτυός τε f. 457r *βλαστούς, καὶ κώνους, οὓς | πεῦκαι φέρουσιν, ἑψηθέντας ὁμοῦ καὶ ποθέντας· οὐχ οἷόν τε μὴ ἐπαλεξῆσαι, ὥστε τούτῳ σὺ χρῶ, ἀλεύροις τε ὀρόβων ἅμα ἕψων κνίδης σπέρμα ἐσθίειν εἰς κόρον δίδου καὶ μὴ βουλομένῳ τῷ κάμνοντι τοῦτο· ἐλαίου δὲ ἐχέτω· οὐ γὰρ μὴ οὐκ ἔσται εἰς τόδε κάλλιστον ἰσχῦσαι καὶ παρελέσθαι τοῦ κινδύνου τὸν ἐν τῇ συμφορᾷ. Ῥητίνην τοίνυν ἐπὶ τούτοις καὶ μέλι καὶ χαλβάνης ῥίζας καὶ ᾠὰ χελώνης ἑψημένα, συμμίξαντα ταῦτα πάντα διδόναι προσήκει τῷ κάμνοντι· ἔτι μὴν καὶ συὸς θεραπεύει τὰ ἔκγονα, χελώνης τε αὖ μετὰ τούτων ἑψηθέντα κρέα· ἡ μὲν*

3 *πάντα διαφόρως* scripsi: *πανταδιαφορως* VM *πάντ' ἀδιαφόρως* A *διαφόρως* (om. *πάντα*) perp. edd. || 6 *κατεσκευαζομενου* V || 12 *τρέμει* A: *τρέμειν* V || 16 *ὑγιεινὰ* A: *υγινα* VM || 22 *οὐχ οἷόν τε* A: *ουκοιονται* V || 26 *παρελέσθαι* A: *παρεδεσθαι* VM *παριδέσθαι* perp. leg. edd.

οὖν χελώνη αὕτη θαλαττία ἔστω, κέχρηται δὲ οἷον πτεροῖς τέμνουσα τὸ ὕδωρ ἥδε τοῖς ἑαυτῆς ποσίν, καθάπερ τὸν ἀέρα τοῖς πτεροῖς τέμνει τὸ τῶν πτηνῶν γένος ἔστι δὲ καὶ τῆς ἐν ὄρει τρεφομένης χελώνης τὰ κρέα χρήσιμα, ταύτης δὲ νομὴ μὲν ἡ βοτάνη κύτισος γίγνεται, λέγει δὲ ὁ λόγος τῆς χελώνης, ὡς αὐτὴν ὁ Διὸς καὶ Μαίας, οὐ πρότερον οὖσαν Μούσαις φίλην, ἐποίησεν φίλην τῶν γὰρ δὴ σαρκῶν τὴν χέλυν αὐτῆς ἀποφαίνει γυμνήν, καὶ προσχρησάμενος ἀγκῶσι, καὶ τούτους αὐτῆς ἐπιθεὶς τοῖς ἄκροις, πρῶτος ἐποίησε κιθάραν, καὶ ἐκιθάρισεν Καὶ μὲν δὴ βατράχους τῶν παλαιῶν, καὶ ἠρυγγίου δὴ τὰς ῥίζας εἰς ταὐτὸ συμβαλὼν ἅμα σκαμμωνίᾳ ἑψεῖσθαι πάρεχε, εἶτα εἰς κόρον πίνειν δίδου τῷ πεφαρμαγμένῳ ἀνώλεθρον γὰρ τοῦτον διαφυλάξαι πως δυνήσει, κἂν ᾖ πρὸς αὐταῖς, ὡς εἰπεῖν, τοῦ Ἅιδου ταῖς πύλαις.

f. 457v 567-593 Ἐπειδὰν δὲ πίῃ τις ἐκ φρύνου φάρμακον κατεσκευασμένον (ἄφωνος δέ ἐστιν ὁ φρῦνος, καὶ τῶν λιμναίων εἰς μέγεθος βατράχων ἀπολιμπάνεται κατὰ πολύ ἔστι δ' οὖν, ὡς ἔπος εἰπεῖν, οὗτος χερσαῖος βάτραχος βόσκεται μέντοι τὴν δρόσον, καὶ τῷ θέρει διηνεκῶς τὰς θάμνους διώκει), ὠχροὶ δ' οὖν οἱ πιόντες μάλιστα ἐκ τούτου γίγνονται, καὶ τῇ θαψίᾳ τὴν χροιὰν τὴν αὐτὴν ἔχουσι, τὰ μέλη ὑποπιμπράμενα αὐτῶν ἐστιν, ἀσθμαίνουσι πολὺ καὶ συνεχές, ἐχθοδοπὸν δέ ἐστιν αὐτοῖς ὅπερ ἀσθμαίνουσι, διότι χαλεπὸν ἐξόζει, καὶ χωρεῖ διὰ τοῦ στόματος αὐτῶν βαρεῖά τις ὀδμή. Ἀλλὰ τούτοις μὲν ὠφελιμώτατον τυγχάνει ἑψηθεὶς βάτραχος, γένοιτο δ' ἂν εἰς τροφὴν κάλλιστον καὶ ὀπτὸς ἤν πού τισιν δοθῇ, καὶ πίσσα σὺν οἴνῳ ἑψηθεῖσα f. 458r ποθεῖσα μέγιστα ὠφελεῖ αὐταρ|κες δὲ πρὸς σωτηρίαν καὶ σπλὴν ἂν γένοιτο τῷ λαβόντι εἰς ὀβολὸν σταθμοῦ λιμναίου

4 τῆς ἐν ὄρει AM: της δεενορι V || 9 αὐτῆς VM: αὐτὴν A || 11 συμβαλὼν scripsi (συμβαλων VM): συμβάλλων perp. leg. edd. cum A || 12 ἅμα σκαμμωνίᾳ scripsi: αμασκαμμωνια VM ἅμ' ἀσκαμμωνίᾳ A ἅμα τῇ σκαμμωνίᾳ perp. leg. edd. || ἑψεῖσθαι scripsi: εψισθαι VM ἕψεσθαι A, edd. || 24 ἐχθοδοπὸν scripsi: ἐχθοδαπὸν codd.

βατράχου, λιμναίου τοῦ ἐπὶ τῶν βρύων ἀνιόντος καὶ προαγγέλλοντος τὴν ἔαρος ὥραν, καὶ ὡς οὐδὲν ἄρα τοῦ ἔαρος τυγχάνει κάλλιον Ὁ δέ γε ἕτερος τῶν βατράχων, ὁ τὰς θάμνους ἐπιὼν τῷ θέρει, φωνὴν δὲ οὐκ ἔχων, ποιεῖ ποτὲ μὲν ὡς πύξου γίγνεσθαι τοῦ βλαβέντος τὸ χρῶμα, ποτὲ δὲ μοχθηρᾶς τὸ στόμα ἐμπίμπλησιν ὀδμῆς, λυγμούς τε ἐπιγίγνεσθαι καὶ σπασμοὺς συνεχεῖς παρέχει ἔτι μὴν ἀγόνους ἄνδρας καὶ γυναῖκας ἄντικρυς τὸ δεινὸν τίθησιν ἐξασθενούντων γὰρ τῶν μορίων καὶ ἐλαττουμένων τῆς σφῶν κατὰ φύσιν δυνάμεως, τὸ σπέρμα προχωρεῖ ἀτάκτως καὶ οὐ κατὰ λόγον Καὶ τούτοις τοίνυν οἶνον πολὺν ἐγχέων καὶ παρέχων πίνειν αὐτοῦ σφόδρα ἐμεῖν ἀνάγκαζε ὡσαύτως καὶ τὰς δι' ὀστράκων πίθου τῷ κακοπαθοῦντι πυρίας πρόσφερε καὶ γάρ, ἢν λίαν ἀνιάτως φαίνοιτο καὶ πονηρῶς ἔχων, ἱδρώσας οὐκ ἂν μὴ ῥᾷον διατεθήσεται. Ἀλλὰ γὰρ δὴ καὶ τῶν μεγάλων τὰς ῥίζας καλάμων ἀποτεμὼν εἰς οἶνον ἐμβάλλων ἀπόβρεχε, τρέφουσι δὲ τοὺς καλάμους οἱ δίυγροι τούτους πάντως καὶ λιμνώδεις τόποι. Ἀτὰρ οὖν καὶ ταῖς κυπέρισι κέχρησο πρὸς τὸν τούτου ποτόν, ἄλλως δὲ ἀπότρεπε τοῦ πίνειν ἢ ἐσθίειν ὅλως, ἐκτρυχῶν δὲ αὐτὸν ὠφελήσεις προσαναγκάζων, ὡς οἷόν τε, συχνοῖς περιπάτοις χρῆσθαι.

f. 458v 594-610. Οὐκ ἂν λιθάργυρος ποθεῖσά τινα διαλάθοι ποτέ αὕτη γὰρ πρῶτον μὲν βαρύτητα προστρίβεται τῇ γαστρὶ ποθεῖσα, ἔπειτά που περὶ τὰ σπλάγχνα πνευμάτων τε κινήσεις ἰσχυρὰς καὶ ἤχους οἷον δή τινας περὶ τὸν ὀμφαλὸν ἐργάζεται, ἰλιγγιᾶν παρασκευάζει, τὰ οὖρα προχεῖσθαι οὐ συγχωρεῖ, ὑποπίμπρησι δὲ καὶ τὰ μέλη, τῷ μολύβδῳ τὸ χρῶμα ἐοικέναι ποιεῖ {πάντα ταῦτα} ἀλλὰ θεραπεύει ταῦτα πάντα σμύρνα σταθμιζομένη τὴν ὁλκὴν εἰς ὀβολοὺς δύο, καὶ ὅρμινον ἡ βοτάνη ὑπερικόν τε δὴ τὸ ἐν τοῖς ὄρεσι τρεφόμενον, καὶ ὑσσώπου κλῶνες, κράδη τε πρὸς τούτοις,

12 αὐτοῦ σφόδρα edd.: αυτουσφοδρα VM αὐτοὺς σφόδρα A fort. recte || 16 ἐμβάλλων scripsi: εμβαλλων VM ἐμβαλὼν A, edd. || 20 ἐκτρυχῶν scripsi: ἐκτρύχων A εκτρυχων VM ἐκ τυχῶν perp. leg. edd. || 28 καὶ ποιεῖ ante πάντα ταῦτα perp. add. edd. || πάντα ταῦτα delevi || 30 τρεφόμενον A: τρεφομένη VM.

καὶ μὲν δὴ καὶ τὸ τοῦ σελίνου ἐπὶ πᾶσιν σπέρμα, ὃ δὴ ἐν Ἰσθμῷ τὸ πρῶτον λόγος ἔχει φῦναι, ἔχει δὲ ὁ αὐτὸς περὶ αὐτοῦ ὧδε διαγγέλλων λόγος, ὡς οἱ Σισύφου ἀπόγονοι τὸν ἐπὶ τῇ Μελικέρτου ταφῇ ἐν Ἰσθμῷ ἄγοντες ἀγῶνα ἐχρήσαντό τε τῷ σελίνῳ πρῶτοι καὶ ἐστεφανώσαντο. Πρὸς τούτοις ἣν δὴ πέπεριν προσαγορεύουσι τοῦ φυτοῦ κλωνία καὶ ἐρύσιμον τὴν βοτάνην, ἅμα κόπτων ταῦτα, τῷ κακῶς ὑπὸ τοῦ φαρμάκου διακειμένῳ ἐπάμυνε, διδοὺς οἶνον μέντοι μέτα. ἀλλὰ μὴν καὶ κύπρου τῆς βοτάνης βλαστούς, καὶ τὰ πρὸ τῶν ῥοιῶν ἄνθη ἐπ' αὐτοῦ γιγνόμενα τοῦ φυτοῦ τῆς ῥοιᾶς, καὶ τοῦ κυτίνου τοῦ εὐανθοῦς καρπόν, σὺν οἴνῳ καὶ ταῦτα τῷ νοσοῦντι δίδου.

f. 459v *611-615 Λεγόμενον σμῖλός ἐστι φυτόν, καὶ παρέοικε τῇ ἐλάτῃ, θανάσιμον δὲ γίγνεται τοῦτο τοῖς αὐτοῦ λαβοῦσιν. Καὶ ἀκράτου πόσις οἴνου αὐτὸ οὐκ ἐᾷ κακουργεῖν, ἴαται δὲ ὁ οἶνος αὐτὸ ἐκ τοῦ παραχρῆμα, ἢν μὴ φθάσῃ ἀποφραγῆναι ὅ τε λαιμὸς καὶ τὰ παρίσθμια· ἐναποτίθεται γὰρ τὸ δεινὸν ἡ σμῖλος τοῖς μορίοις τοῦ ἀνθρώπου, οὗπερ ἂν καὶ ἡ πόσις ἡ ταύτης γένηται.*

629-630 Ἀλλὰ σέ γε, ὦ Πρωταγόρα, τῶν παρ' ἐμοῦ ῥηθέντων ὅλως ἡ μνήμη τῶν ἐπῶν μήποτε παρέλθοι, φυλάττεσθαι δὲ ὑπὸ σοῦ καὶ τοὺς τοῦ Ξενίου Διὸς εἰς ἐμὲ καθήκοι διὰ παντὸς θεσμούς τε καὶ νόμους.

5 *ἐστεφανώσαντο* A: *στεφ-* VM ‖ 6 *πέπεριν* edd: *πενεριν* V ‖ 21 *τῶν* VM: om A ‖ 23 Post *νόμους* praebet V subscript *ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΑ ΝΙΚΑΝΔΡΟΥ ΑΛΕΞΙΦΑΡΜΑΚΑ ΕΥΤΕΚΝΙΟΥ ΣΟΦΙΣΤΟΥ.*

INDEX NOMINUM *

* Ἡ παραπομπὴ γίνεται κάθε φορὰ στὴ σελίδα καὶ στὸν στίχο τῆς ἔκδοσής μας.

INDEX VERBORUM *

* Θεώρησα περιττὸ νὰ περιλάβω στὸν πίνακα αὐτὸν τὶς λέξεις ; ἀλλά, ἀνά, ἀπό, αὐτός, γάρ, γε, δέ, δή, διά, ἑαυτοῦ, εἰμί, εἰς, ἐκ, ἐκεῖνος, ἐν, ἐπί, ἤ, καί, κατά, μέν, μετά, μή, ὅς, οὐ, οὗτος, παρά, περί, πρός, σύν, τε, τις, ὑπό.

ERRATUM

Pag 31, 21 pro οὐχ ἔχει lege οὐκ ἔχει